opponent destroying buffaloes I-think this the kind

καλοῦσι. πλεῖστοι δὲ ἀνὰ τὴν ἐκείνῃ ἤπειρον νέμονται·
they-call very-many and over the there mainland graze
ἀμφηρεφεῖς τε γὰρ αἱ νάπαι, καὶ τὰ ὄρη λάσια,
overshadowed both for the glens and the mountains wooded
καὶ δυσχείμερα τὰ χωρία, ἅπασι δὲ τούτοις τὸ ζῶον
and wintry the places all and these the animal
ἥδεσθαι πέφυκε. τοῦτον δὴ οὖν ὁ Θευδίβερτος ἔκ τινος
to-delight-in is-wont this indeed then — Theudebert from some
νάπης ἰδὼν ἀναθορόντα καὶ ἐπερχόμενον, εἱστήκει εὖ
glen having-seen leaping-up and coming-on stood well
διαβάς, ὡς τῷ δόρατι ὑπαντιάσων· ὁ δέ, ἐπειδὴ ἀγχοῦ
with-legs-apart as with-the spear going-to-meet(-it) it and when near
ἐγεγόνει, τῇ ῥοπῇ τοῦ δρόμου φερόμενος ἐς δένδρον
had-come with-the momentum of-the run borne into tree
τι τῶν οὐ λίαν μεγάλων τῷ μετώπῳ κορύττεται, καὶ
some of-the not very great(-ones) with-the forehead butts and
τὸ μὲν διεσείσθη τε ἅπαν καὶ ἐπὶ θάτερα κατεκλίθη,
the(-tree) indeed was-shaken both whole and to the-other-side bent-over
ξυμβέβηκε δὲ ἀθρόον ὅρπηκα μέγιστον τῶν ἐνθένδε
it-befell and all-at-once (a)-branch greatest of-the(-ones) from-there
κεχαλασμένων βιαιότερον προσραχθέντα τὴν κεφαλὴν τοῦ
hanging more-violently having-been-dashed the head —
Θευδιβέρτου πατάξαι· ὁ δέ, καιρία γὰρ ἦν ἡ πληγὴ καὶ
of-Theudebert to-strike he and mortal for was the blow and
ἀνύποιστος, αὐτίκα ὕπτιος ἐπεπτώκει, καὶ μόλις φοράδην
unbearable at-once on-his-back had-fallen and scarcely carried
ἐς τὰ οἰκεῖα ἠγμένος, αὐθημερὸν ἀπεβίω. διαδέχεται δὲ
to the home brought on-the-same-day died succeeds and
τὴν ἀρχὴν Θευδίβαλδος ὁ παῖς, ὃς δή, εἰ καὶ νέος
to-the rule Theudebald the son who indeed if even young

ἦν κομιδῇ, καὶ ἔτι ὑπὸ παιδοκόμῳ τιθηνούμενος, ἀλλ'
was quite and still under (a)-tutor being-nursed but
ἐκάλει γε αὐτὸν εἰς τὴν ἡγεμονίαν ὁ πάτριος νόμος.
called at-least him to the leadership the ancestral law
Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, ἐν ᾧ Τεΐας μὲν
at that indeed then of-the time in which Teias indeed
ἐτεθνήκει, τοῖς δὲ τῶν Γότθων πράγμασιν ὀθνείας
had-died for-the and of-the Goths affairs foreign
τολοιπὸν ἔδει ἐπικουρίας, τότε δὲ βασιλεῖς παρὰ
the-rest was-needed of-aid then and kings among
Φράγγοις Θευδίβαλδός γε ἦν τὸ μειράκιον, καὶ μὲν δὴ
Franks Theudebald at-least was the youth and indeed indeed
Χιλδίβερτός τε καὶ Χλωθάριος οἱ τοῦ παιδὸς μέγιστοι
Childebert both and Chlothar the of-the boy great
θεῖοι, ὡς ἂν οἱ Ῥωμαίων εἴποιεν νόμοι. ἀλλ' ἐπὶ τούτους
uncles as — the of-Romans would-say laws but to these
μέν, ποῤῥωτάτω γὰρ ἐτύγχανον ἀπῳκισμένοι, οὐ χρῆναι
indeed farthest for they-happened settled-away not to-be-needful
ᾤοντο οἱ Γότθοι ἰέναι, πρὸς δὲ Θευδίβαλδον ἀναφανδὸν
thought the Goths to-go to and Theudebald openly
ἐπρεσβεύοντο. οὐ μὴν ἅπαν γε τὸ ἔθνος, μόνοι δὲ
sent-embassies not however all at-least the nation only and
οἱ ἐκτὸς Πάδου ποταμοῦ ἱδρυμένοι· οἱ γὰρ δὴ ἄλλοι
the(-ones) outside (the)-Po river settled the for indeed others
ἥδοντο μὲν καὶ οἱ τῷ νεωτερισμῷ καὶ τῇ τῶν
were-pleased indeed also they with-the revolution and with-the of-the
καθεστώτων κινήσει, ἐτεθήπεσαν δὲ ὅμως ἀμφιγνοοῦντες
established-order disturbance were-amazed and nevertheless being-in-doubt-about
τὰ ἐσόμενα, καὶ τὸ ἀστάθμητον δεδιότες τῆς
the(-things) going-to-be and the unstable fearing of-the
τύχης, μετεώρους τε καὶ ἀμφιβόλους εἶχον τὰς γνώμας,
fortune in-suspense both and doubtful held the minds

καραδοκοῦντες μὲν καὶ διαπυνθανόμενοι τὰ ποιούμενα,
waiting indeed and inquiring-into the(-things) being-done
βουλευόμενοι δὲ τῶν κρατούντων γενέσθαι. οἱ δὲ τῶν
planning and of-the prevailing(-side) to-become the and of-the
ἑτέρων πρέσβεις ἀφικόμενοι, ἐς ὄψιν τε τῷ ἡγεμόνι
others envoys having-arrived into sight both to-the leader
καταστάντες καὶ ἅπασι τοῖς ἐν τέλει, ἐδέοντο μὴ σφᾶς
having-come and to-all the(-ones) in authority begged not them
περιϊδεῖν ὑπὸ Ῥωμαίων πιεζομένους, συλλαβέσθαι δὲ
to-overlook by Romans being-pressed to-take-part and
μᾶλλον τοῦ ἀγῶνος, καὶ ἀνακαλέσασθαι γένος πρόσοικόν
rather in-the contest and to-recall (a)-race neighboring
τε καὶ φίλιον καὶ ἄρδην οἰχήσεσθαι κινδυνεῦον. ἐδίδασκον
both and friendly and utterly to-perish being-in-danger they-taught
δὲ ὡς καὶ αὐτοῖς ἐς τὰ μάλιστα συνοίσει, μὴ ἐφιέναι
and that also for-them in the most it-will-be-advantageous not to-allow
Ῥωμαίοις ἐπὶ μέγα δυνάμεως αἰρομένοις, ἀλλὰ παντὶ
Romans to great of-power rising but with-all
σθένει τὴν αὔξην κολούειν· "εἰ γὰρ ἅπαν τὸ Γοτθικὸν γένος
strength the growth to-cut-short if for all the Gothic race
ἐκποδὼν ποιήσονται, οὐκ ἐς μακρὰν" ἔφασαν οἱ πρέσβεις
out-of-the-way they-will-make not at long said the envoys
"καὶ καθ' ὑμῶν αὐτῶν ἥξουσι, καὶ ἀνανεώσονται
also against you yourselves they-will-come and will-renew
τοὺς προτέρους πολέμους. ἐπιλείψει γὰρ αὐτοὺς οὐδ'
the former wars will-fail for them not
ὁπωστιοῦν εὐπρόσωπος αἰτία ἐς προκάλυμμα τῆς
in-any-way-whatever plausible (a)-cause for (a)-screen of-the
πλεονεξίας, ἀλλὰ σὺν δίκῃ γε ὑμᾶς δόξουσι μετιέναι,
greed but with justice at-least you they-will-seem to-attack
Μαρίους τινὰς καὶ Καμίλλους, καὶ τῶν Καισάρων τοὺς
Mariuses some and Camilluses and of-the Caesars the

πλείστους ἀπαριθμούμενοι, ὡς δὴ πάλαι ποτὲ τοῖς ἄνω
most enumerating as indeed of-old once against-the upper
Γερμανοῖς πολεμήσαντας, καὶ τὰ ὑπὲρ Ῥῆνον ἅπαντα
Germans having-made-war and the(-lands) beyond (the)-Rhine all
κατασχόντας· ταύτῃ τε οὐ βιάζεσθαι δόξουσιν, ἀλλ'
having-occupied in-this-way both not to-use-force they-will-seem but
ὁσίως ἐπιστρατεύειν, ὡς οὐδέν τι ὀθνεῖον μαστεύσαντες,
piously to-campaign as nothing at-all foreign having-sought
ἀλλὰ κτήματα τῶν σφετέρων προγόνων ἀνακομιούμενοι.
but possessions of-the their-own ancestors going-to-recover
τοιοῦτο γὰρ δή τι καὶ ἡμῖν ἐπαγαγόντες ἐπίκλημα,
such for indeed some also against-us having-brought (a)-charge
ὡς δὴ Θευδερίχου πάλαι τοῦ ἡμετέρου ἡγεμόνος καὶ
that indeed Theoderic of-old the our leader and
οἰκιστοῦ οὐ προσηκόντως τῆς Ἰταλίας ἐπιλαβομένου,
founder not fittingly — Italy having-seized
ἀφῄρηνται μὲν ἡμᾶς τὰ οἰκεῖα, τὸ δὲ πλεῖστον
they-have-deprived indeed us-of the own(-things) the and most(-part)
ἀπεκτόνασι τοῦ γένους, γύναια δὲ καὶ παῖδας τῶν παρ'
they-have-killed of-the race women and and children of-the among
ἡμῖν εὐδαιμόνων ἀνδρῶν ἀφειδῶς ἠνδραποδίσαντο.
us prosperous men unsparingly they-enslaved
καίτοι Θευδέριχος οὐ βίᾳ ἑλών, ἀλλὰ Ζήνωνος
and-yet Theoderic not by-force having-taken(-it) but Zeno
πρότερον τοῦ σφῶν βασιλέως ἐπιτρέψαντος τὴν Ἰταλίαν
earlier the their emperor having-entrusted(-it) — Italy
προσηγάγετο, οὐδὲν Ῥωμαίους ἀφελόμενος, (ἤδη γὰρ αὐτῆς
won nothing Romans having-taken-from already for of-it
ἀπεστέρηντο,) ἀλλ' Ὀδόακρον καθελὼν τὸν ἐπηλύτην,
they-had-been-deprived but Odoacer having-overthrown the immigrant
τὸν τύραννον, τἀκείνου ἅπαντα κατέσχε τῷ τοῦ πολέμου
the tyrant his(-things) all held by-the of-the war

θεσμῷ. οἱ δέ, ἐπειδὴ βιάζεσθαι αὐτοῖς μᾶλλον ἐξῆν,
law they and when to-use-force to-them rather it-was-possible
οὐδὲν ἐνδίκως πεπράχασιν, ἀλλὰ Θευδάτῳ πρότερον
nothing justly have-done but with-Theodatus earlier
Ἀμαλασούνθης δῆθεν ἕκατι χαλεπήναντες, καὶ ταύτην
of-Amalasuntha forsooth for-the-sake having-been-angered and this
ἀρχήν τε καὶ πρόφασιν τῷ πολέμῳ θέμενοι, εἶτα μέχρι
(a)-beginning both and pretext for-the war having-made then as-far
νῦν οὐ μεθίασιν, ἀλλὰ φέρουσι βιαίως ἅπαντα· οὗτοι δὴ
now not let-go but carry-off violently all these indeed
οἱ σοφοί τε καὶ δεισιδαίμονες, καὶ μόνοι σὺν δικαιοσύνῃ
the wise both and god-fearing and alone with justice
πολιτεύεσθαι βρενθυόμενοι. ἵνα δὴ οὖν μὴ ταὐτὰ παθοῦσιν
to-govern priding-themselves so-that indeed then not the-same suffering
ὑμῖν μεταμελήσῃ τῆς ῥᾳθυμίας ὕστερον οὐκ ἐν δέοντι,
you may-regret the indolence later not in need
προτερητέον ἐν τῷδε τοὺς πολεμίους, καὶ οὐ διαμαρτητέον
one-must-anticipate in this the enemies and not one-must-miss
τοῦ παρόντος καιροῦ, ἀλλὰ στράτευμά τε στέλλειν ἐπ᾽
the present moment but (an)-army both to-send against
αὐτοὺς ἀξιόμαχον, καὶ στρατηγὸν ἐξ ὑμῶν αὐτῶν ἀγαθὸν
them a-match and (a)-general from you yourselves good
τὰ πολέμια, ὃς δὴ τὸν πρὸς Ῥωμαίους πόλεμον
(at)-the(-things) of-war who indeed the against Romans war
ἄριστα διανύσας, ἀπελάσει τε αὐτοὺς ἐνθένδε ὡς
best having-accomplished will-drive-out both them from-here as
τάχιστα, καὶ τὴν χώραν ἡμῖν ἀνασώσει. οὕτω γὰρ ποιοῦντες
quickest and the land for-us will-recover thus for doing
τῷ τε Γοτθικῷ γένει ἐς τὰ μάλιστα χαριεῖσθε, σωτῆρες
to-the both Gothic race in the most you-will-do-a-favor saviors
ἀναφανέντες καὶ ἀλεξίκακοι, τά τε ὑμέτερα αὐτῶν
appearing and averters-of-evil the(-things) both your own

ἐν τῷ ἀσφαλεῖ θήσεσθε, εἴγε μηδὲν ὑμῖν ἔτι πολέμιον
in the safety you-will-place if-indeed nothing for-you still hostile
ἐκ γειτόνων παρείη· πρὸς δέ γε καὶ χρήματα ὑμῖν
from neighbors should-be-present besides and at-least also money for-you
ἔσονται μυρία, οὐ μόνον τὰ Ῥωμαίων ληϊσαμένοις,
will-be countless not only the(-wealth) of-Romans having-plundered
ἀλλὰ γὰρ δὴ καὶ αὐτοὶ ἕτερα καταθήσομεν."
but for indeed also we-ourselves other we-will-deposit

6 Ταῦτα ἐπειδὴ ἔφασαν οἱ πρέσβεις, Θευδίβαλδος μὲν
these(-things) when said the envoys Theudebald indeed
(ἦν γὰρ μειράκιον ἀγεννὲς καὶ ἀπόλεμον, ἤδη τε
was for (a)-youth ignoble and unwarlike already both
νοσώδης κομιδῇ ἐγεγόνει, καὶ τὸ σῶμά οἱ πονήρως
sickly quite had-become and the body for-him wretchedly
διέκειτο,) τούτων δὴ οὖν ἕκατι οὐ μάλα ὅ γε τῶν
was-disposed these indeed then for-the-sake not very he at-least of-the
πρέσβεων ἦν, οὐδὲ ᾤετο χρῆναι ὀθνείων ἕνεκα
envoys (of-the-side)-was nor thought to-be-needful foreign for-the-sake
συμφορῶν οἰκείους καρπώσασθαι πόνους. Λεύθαρις δὲ καὶ
misfortunes own to-reap toils Leutharis and and
Βουτιλῖνος, εἰ καὶ τὸν βασιλέα σφῶν ἥκιστα ἤρεσκεν,
Butilinus if even to-the king their least it-pleased
ἀλλ' αὐτοὶ ἀνεδέχοντο τὴν ξυμμαχίαν. τούτω δὲ τὼ
but they-themselves undertook the alliance these and the
ἄνδρε ἦστην μὲν ἀδελφώ, καὶ τὸ γένος Ἀλαμανώ,
two-men were indeed two-brothers and by-the race two-Alamanni
δύναμιν δὲ παρὰ Φράγγοις μεγίστην εἰχέτην, ὡς καὶ
power and among Franks greatest had so-as also
τοῦ σφετέρου ἔθνους ἡγεῖσθαι, Θευδιβέρτου πρότερον
of-the their-own nation to-lead Theudebert earlier
παρασχόντος. οἱ δὲ Ἀλαμανοί, εἴγε χρὴ Ἀσιννίῳ
having-granted(-it) the and Alamanni if-indeed (it-is)-needful Asinius

Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ Ἰταλιώτῃ καὶ τὰ Γερμανικὰ ἐς
Quadratus to-follow (a)-man Italian and the German(-things) to
τὸ ἀκριβὲς ἀναγεγραμμένῳ, ξύγκλυδές εἰσιν ἄνθρωποι καὶ
the exact having-recorded promiscuous are men and
μιγάδες, καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. τούτους
mixed and this means to-them the name these
δὲ πρότερον Θευδέριχος ὁ τῶν Γότθων βασιλεύς, ἡνίκα
and earlier Theoderic the of-the Goths king when
καὶ τῆς ξυμπάσης Ἰταλίας ἐκράτει, ἐς φόρου ἀπαγωγὴν
also of-the whole Italy he-ruled to of-tribute payment
παραστησάμενος, κατήκοον εἶχε τὸ φῦλον. ὡς δὲ ὁ μὲν
having-brought subject held the tribe when and he indeed
ἀπεβίω, ὁ δὲ μέγιστος Ἰουστινιανῷ τε τῷ Ῥωμαίων
died the and greatest for-Justinian both to-the of-Romans
αὐτοκράτορι καὶ τοῖς Γότθοις πόλεμος ξυνερράγη, τότε
autocrat and for-the Goths war broke-out then
δὴ οἱ Γότθοι ὑποθωπεύοντες τοὺς Φράγγους, καὶ ὅπως
indeed the Goths flattering the Franks and so-that
ἂν αὐτοῖς φίλοι τε ἐς τὰ μάλιστα καὶ εὖνοι γένοιντο
— to-them friends both in the most and well-disposed they-might-become
μηχανώμενοι, ἑτέρων τε πολλῶν ἐξίστανται χωρίων, καὶ
contriving other both many withdrew-from places and
μὲν δὴ καὶ τὸ Ἀλαμανικὸν γένος ἀφίεσαν. ἀγείρειν τε
indeed indeed also the Alamannic race they-released to-gather both
γὰρ ἐν τῷ τότε πανταχόθεν τὰς σφετέρας ᾤοντο χρῆναι
for in the then from-everywhere the their-own they-thought to-be-needful
δυνάμεις, καὶ τῆς ὑπηκόου ὁπόσα περιττὰ καὶ οὐ λίαν
forces and of-the subject(-land) as-much-as superfluous and not very
ἐπίκαιρα μεθιέναι, ὡς οὐκέτι ἀρχῆς τε πέρι καὶ δόξης
opportune to-let-go as no-longer of-rule both about and of-glory
ἀγωνιούμενοι, ἀλλ᾽ ἤδη τὸν ὑπὲρ αὐτῆς τῆς Ἰταλίας, καὶ
going-to-contend but already the for the-very — Italy and

τοῦ μὴ πάμπαν ἀπολωλέναι ἀναῤῥίψοντες κίνδυνον. καὶ
the not altogether to-perish going-to-throw danger and
τοίνυν τὸ τοῦ μέλλοντος σφαλερὸν τῷ αὐθαιρέτῳ δῆθεν
therefore the of-the future slipperiness by-the voluntariness forsooth
τῆς γνώμης προκαταλαβόντες, ἑκουσίαν πεποίηνται τὴν
of-the decision having-anticipated willing made the
ἀνάγκην. οὕτω δὴ οὖν καὶ τὸ τῶν Ἀλαμανῶν ἔθνος ὑπὸ
necessity thus indeed then also the of-the Alamanni nation by
Γότθων ἀφειμένον Θευδίβερτος αὐτὸς ἐχειρώσατο· ἐκείνου
Goths released Theudebert himself subdued he
τε διαφθαρέντος, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, ἐπὶ τὸν παῖδα
both having-perished as-very by-me already was-said to the son
Θευδίβαλδον τῇ λοιπῇ ἅμα ὑπηκόῳ καὶ οἵδε ἐχώρουν.
Theudebald with-the remaining together subject(-land) also these went
7 Νόμιμα δὲ αὐτοῖς εἰσι μέν που καὶ πάτρια, τὸ δέ
customs and to-them are indeed somewhere also ancestral the and
γε ἐν κοινῷ ἐπικρατοῦν τε καὶ ἄρχον τῇ Φραγγικῇ
at-least in common prevailing both and ruling to-the Frankish
ἕπονται πολιτείᾳ, μόνα δέ γε τὰ ἐς θεὸν
they-follow polity only and at-least the(-things) concerning god
αὐτοῖς οὐ ταὐτὰ ξυνδοκεῖ. δένδρα τε γάρ τινα ἱλάσκονται,
for-them not the-same agree trees both for some they-propitiate
καὶ ῥεῖθρα ποταμῶν καὶ λόφους καὶ φάραγγας, καὶ
and streams of-rivers and hills and ravines and
τούτοις, ὥσπερ ὅσια δρῶντες, ἵππους τε καὶ βόας καὶ
to-these as holy(-things) doing horses both and oxen and
ἄλλα ἄττα μυρία καρατομοῦντες ἐπιθειάζουσιν. ἀλλὰ γὰρ
other certain countless beheading they-worship but for
ἡ τῶν Φράγγων αὐτοὺς ἐπιμιξία, εὖ ποιοῦσα, καὶ ἐς
the of-the Franks them intercourse well doing also in
τόδε μετακοσμεῖ, καὶ ἤδη ἐφέλκεται τοὺς ἐμφρονεστέρους,
this changes and already draws the more-sensible

οὐ πολλοῦ δὲ οἶμαι χρόνου καὶ ἅπασιν ἐκνικήσει. τὸ
not much and I-think time also over-all it-will-prevail the
γὰρ τῆς δόξης παράλογόν τε καὶ ἔκπληκτον, καὶ
for of-the belief unaccountable both and astonishing even
αὐτοῖς οἶμαι τοῖς χρωμένοις, εἰ μὴ πάμπαν εἶεν ἠλίθιοι,
to-them I-think the using(-it) if not altogether they-be foolish
γνώριμόν τέ ἐστι καὶ εὐφώρατον, καὶ οἷον ἀποσβῆναι
known both is and easily-detected and such-as to-be-quenched
ῥᾳδίως. ἐλεεῖσθαι μὲν οὖν μᾶλλον ἢ χαλεπαίνεσθαι
easily to-be-pitied indeed then rather than to-be-angered-at
δίκαιοι ἂν εἶεν, καὶ πλείστης μεταλαγχάνειν συγγνώμης
deserving — would-be and the-most to-share-in pardon
ἅπαντες ὅσοι δὴ τοῦ ἀληθοῦς ἁμαρτάνουσιν. οὐ
all as-many-as indeed the truth miss not
γὰρ δήπου ἑκόντες εἶναι ἀλῶνται καὶ ὀλισθαίνουσιν,
for surely willing being they-wander and slip
ἀλλὰ τοῦ ἀγαθοῦ ἐφιέμενοι, ἔπειτα σφαλέντες τῇ
but the good aiming-at then having-been-deceived in-the
κρίσει τολοιπὸν ἔχονται τῶν δοκηθέντων ἀπρίξ, ὁποῖα
judgment the-rest hold-to the(-things) supposed tightly what-sort
ἄττα καὶ τύχοιεν ὄντα. τήν γε μὴν τῶν θυσιῶν
certain also they-might-happen being the at-least however of-the sacrifices
ὠμότητα καὶ κακοδαιμονίαν, οὐκ οἶδα εἰ οἷόν τε λόγῳ
cruelty and wretchedness not I-know if able — by-word
ἀκέσασθαι, εἴτε ἄλσεσιν ἐπιτελοῦντο ὥσπερ ἀμέλει παρὰ
to-cure whether in-groves they-be-performed as certainly among
βαρβάροις, εἴτε τοῖς πάλαι νενομισμένοις θεοῖς, ὁποῖα
barbarians or to-the of-old customary gods such-as
αἱ τῶν Ἑλλήνων ἐθέλουσιν ἁγιστεῖαι. ἐγὼ μὲν γὰρ
the of-the Greeks wish rites I indeed for
ἡγοῦμαι μηδέν τι εἶναι τὸ ἡδόμενον βωμοῖς αἵματι
think nothing at-all to-be the(-thing) delighting in-altars by-blood

μιαινομένοις, καὶ ζώων ὀλέθρῳ βιαιοτάτῳ· εἰ δέ γε
being-polluted and of-animals by-destruction most-violent if and at-least
ἄρα καὶ ὁτιοῦν τὰ τοιάδε προσίεσθαι πέφυκεν, ἀγαθὸν
then even at-all the such(-things) to-accept is-wont good
μὲν οὐκ ἂν εἴη οὐδὲ ἥμερον, ἄγριον δέ τι ἴσως
indeed not — it-would-be nor gentle savage and something perhaps
καὶ μανιῶδες, ὁποῖον τὸν Δεῖμον ἀναπλάττουσι μάτην οἱ
and frenzied such-as the Terror they-fashion in-vain the
ποιηταὶ καὶ τὸν Φόβον, Ἐνυώ τέ τινα, καὶ Ἄτην, καὶ
poets and the Fear Enyo both some and Ate and
Ἔριν, ὡς ἂν αὐτοὶ φαῖεν, τὴν ἀμαιμάκετον· προστίθει
Eris as — they-themselves might-say the irresistible add
δὲ τούτοις, εἰ βούλει, καὶ τὸν παρὰ Πέρσαις καλούμενον
and to-these if you-wish also the among Persians called
Ἀρειμάνην, καὶ τῶν ἄλλων χθονίων φασμάτων ὁπόσα
Arimanes and of-the other underworld phantoms as-many-as
κακοῦργα καὶ μιαιφόνα. ταῦτα μὲν οὖν εἰ καὶ ἴσως
evil-doing and bloodstained these(-things) indeed then if even perhaps
ἄν τῳ δοκοῖεν οὐ μάλα τῇ ἐπαγγελίᾳ προσήκειν,
— to-some-one they-might-seem not very to-the undertaking to-belong
εἶναι δὲ περιττὰ καὶ ἀλλότρια τῶν ἐφ' ἃ ἰέναι ἡμῖν
to-be and superfluous and foreign to-the(-things) to which to-go by-us
διεσπούδασται, ἀλλ' ἔμοιγε καὶ λίαν ἀρέσκει ἅπαντα ἐς
has-been-pursued but to-me-at-least also very it-pleases all to
μέσον ἄγειν τὰ ἐγνωσμένα, καὶ τὰ μὲν χρηστὰ τῶν
(the)-middle to-bring the(-things) known and the indeed good of-the
πραγμάτων ἐν ἐπαίνῳ ποιεῖσθαι, τῶν δὲ οὐχὶ τοιῶνδε
affairs in praise to-hold of-the(-ones) and not such
κατηγορεῖν ἀναφανδόν, καὶ τὸ ἀσύμφορον διελέγχειν.
to-accuse openly and the unprofitable to-refute

εἰ γὰρ μὴ τοῦτο ἔχοιεν αἱ ἱστορίαι, ὡς ταύτῃ γε
if for not this they-should-have the histories that in-this-way at-least
καὶ μᾶλλον χρήσιμοί τε εἶναι καὶ βιωφελέστατοι, μόνη
even more useful both to-be and most-beneficial-to-life only
δὲ ἀφήγησις εἶεν τῶν γεγενημένων ἁπλῆ τε
and narration they-should-be of-the(-things) having-happened simple both
καὶ ἀνεξέταστος, κινδυνεύσαιεν ἴσως ἂν παρ᾽ ἐνίοις,
and unexamined they-might-run-the-risk perhaps — among some
εἰ μὴ λίαν δεινὸν εἰπεῖν, οὐ πολλῷ εἶναι ἀμείνους
if not very terrible to-say not much to-be better
τῶν ἐν γυναικωνίτιδι παρὰ τὴν ταλασίαν ᾀδομένων
than-the(-ones) in (the)-women's-quarters at the spinning sung
μυθολογημάτων. τούτων μὲν οὖν πέρι ὥσπη ἑκάστῳ
tales these indeed then about as-somehow to-each
φίλον τῇδε οἰέσθω, ἐμοὶ δὲ ἥπερ ὁ πρότερος ἐφέρετο
dear in-this-way let-him-think for-me and as-very the earlier was-borne
λόγος, ταύτῃ ἰτέα. Λεύθαρις γὰρ καὶ Βουτιλῖνος ἐπειδὴ
account in-this-way one-must-go Leutharis for and Butilinus when
τὴν ἀρχὴν κατὰ Ῥωμαίων ἐπιστρατεύειν ὡρμηθήτην,
the beginning against Romans to-campaign set-out
ἐπηρμένω γε ἤστην ἄμφω ταῖς ἐλπίσι καὶ οἵῳ οὐκ ἔτι
elated at-least were both with-the hopes and such not longer
ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν. Ναρσῆν μὲν γὰρ τὸν
in the established manner to-live Narses indeed for the
στρατηγὸν οὐδὲ τὴν προσβολὴν ὑποστήσεσθαι ᾤοντο,
general not-even the attack to-withstand they-thought
ἅπασαν δὲ τὴν Ἰταλίαν οἰκεῖον αὐτοῖς ἔσεσθαι κτῆμα,
all and — Italy own to-them to-be possession
καὶ πρός γε Σικελίαν καθέξειν. θαυμάζειν δὲ ἔφασαν
and as-far at-least Sicily to-hold to-wonder and they-said
τῶν Γότθων, εἰ μάλα οὕτω πεφρίκασιν ἀνδράριόν τι
at-the Goths if very so they-have-shuddered manikin some

θαλαμηπόλον σκιατραφές τε καὶ ἁβροδίαιτον, καὶ πόῤῥω
chamber-servant shade-reared both and soft-living and far
τοῦ ἀῤῥενωποῦ τεταγμένον. οἱ μὲν δὴ βρενθυόμενοι
from-the manly set they indeed indeed priding-themselves
τῇ τοιαύτῃ δόξῃ, καὶ ἀγέρωχον ποιούμενοι τὴν
on-the such opinion and arrogant making the
παράταξιν, ἔκ τε Ἀλαμανῶν καὶ Φράγγων στράτευμα
array from both Alamanni and Franks (an)-army
ἐς πέντε καὶ ἑβδομήκοντα χιλιάδας ἀλκίμων ἀνδρῶν
to five and seventy thousands of-valiant men
ἀγείραντες, παρεσκευάζοντο τὰ πολέμια, ὡς αὐτίκα
having-gathered prepared the(-things) of-war as straightway
μάλα ἐς τὴν Ἰταλίαν καὶ δὴ ἐμβαλοῦντες.
very into — Italy and indeed going-to-invade

8 Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγός, εἰ καὶ τάδε ἐς
Narses and the of-the Romans general if even these(-things) to
τὸ ἀκριβὲς οὔπω ἐπέπυστο, ἀλλὰ προμηθείᾳ γε πλείστῃ
the exact not-yet had-learned but with-forethought at-least most
χρώμενος καὶ φθάνειν ἀεὶ τὰς τῶν πολεμίων ἐθέλων
using and to-anticipate always the of-the enemies wishing
ὁρμάς, αὐτίκα τὰ ἐς Τουσκίαν πολίσματα, ὑπὸ τῶν
onsets straightway the in Tuscany towns by the
Γότθων ἔτι κατεχόμενα, ἔγνωκε βιαιότατα παραστήσασθαι.
Goths still held resolved most-forcibly to-win-over
οὔτε γὰρ τῇ νίκῃ πέρα τοῦ μετρίου φρυαττόμενος
neither for at-the victory beyond the measure snorting
ἐς ἀπειροκαλίαν ἐπῆρτο, οὔτε, ὅπερ ἕτερος ἂν
to vulgarity had-been-raised nor what-very another —
ἐπεπόνθει, ἐς ῥᾳστώνην τε καὶ ἡδυπάθειαν μετὰ τοὺς
would-have-suffered into ease both and luxury after the
πόνους ἐξέκλινεν, ἀλλ᾽ εὐθύς, ὅπως εἶχεν ὁρμῆς, κινήσας
toils turned-aside but at-once as he-was of-impulse having-moved

τὸν στρατὸν ἐπὶ τὴν Κύμην ἐχώρει· πόλισμα δὲ Ἰταλικὸν
the army against — Cumae went (a)-town and Italian
ἡ Κύμη ἐχυρώτατον, καὶ οἷον οὐ ῥᾷστα πολεμίοις
— Cumae most-secure and such-as not most-easily by-enemies
ἁλῶναι. ἵδρυται μὲν γὰρ ἐπὶ λόφῳ τινὶ δυσπροσόδῳ τε
to-be-taken is-situated indeed for on hill some hard-to-approach both
καὶ ἀνάντει· ἔστι δὲ καὶ ἐν περιωπῇ τοῦ πελάγους τοῦ
and steep it-is and also in (a)-view of-the sea the
Τυρσηνικοῦ. ἐπὶ γὰρ τῇ ἀκτῇ ὁ λόφος ἀνέχει, ὡς καὶ
Tyrrhenian on for the shore the hill rises so-that also
ἀμφ᾽ αὐτὸν δήπου τὸν πρόποδα ῥοχθεῖν τε καὶ περικλᾶσθαι
about it surely the foot to-roar both and to-break-around
τὸ ῥόθιον, ἄνω δὲ ἔρυμα περιβέβληται, πύργοις τε καὶ
the surf above and (a)-wall has-been-thrown-around with-towers both and
ἐπάλξεσι καρτερώτατα ἐξειργασμένον. Τωτίλᾳ τε οὖν καὶ
battlements most-strongly built to-Totila both then and
Τεΐᾳ τοῖς βασιλεῦσι πρότερον τῶν Γότθων γεγενημένοις,
to-Teias the kings earlier of-the Goths having-been
ὁπόσα ἐπίτιμά τε ἦν καὶ ἀξιάγαστα τῶν κτημάτων, ἐν
as-many-as valuable both were and admirable of-the possessions in
τῷδε τῷ φρουρίῳ, ὡς βέβαιον ὄν, ἐφυλάττετο. ἐνταῦθα
this the fortress as secure being were-guarded there
δὲ οὖν ὁ Ναρσῆς ἀφικόμενος, περὶ πλείστου ἐποιεῖτο
and then — Narses having-arrived for most made
ἑλεῖν τε ὡς τάχιστα τὸ χωρίον καὶ τῶν χρημάτων
to-take both as quickest the place and of-the money
κρατῆσαι, ὡς μήτε οἱ Γότθοι ὁρμητήριον ἀσφαλὲς
to-get-control so-that neither the Goths (a)-base secure
ἔχοιεν, αὐτῷ τε τὰ τῆς νίκης τελεώτατα ἐς ὅ, τι
might-have for-him both the(-things) of-the victory most-perfectly to what ever
μάλιστα ἐξειργασθείη. Ἀλίγερνος γὰρ ὁ Τεΐα νεώτατος
most might-be-accomplished Aligern for the of-Teias youngest

ἀδελφὸς τοῦ ἡγεμόνος τῶν Γότθων γεγενημένου, ἔνδον
brother the leader of-the Goths having-been inside
γε ἦν τοῦ περιβόλου, καὶ στράτευμα, ὁπόσον οἷόν τε
at-least was the circuit-wall and (an)-army as-much-as able —
ἦν, ἀμφ' αὐτὸν ἀγείρας, οὐδέν τι εἰρηναῖον ἐβουλεύετο·
was about himself having-gathered nothing at-all peaceful planned
καὶ ὅτι μὲν Τεΐας ἐν τῷ πολέμῳ ἀνῄρητο, καὶ τὰ τῶν
and that indeed Teias in the war had-been-killed and the of-the
Γότθων πράγματα ἐκεκμήκει τε καὶ διελέλυτο, ἤδη
Goths affairs had-been-exhausted both and dissolved already
που ἐς τὸ ἀκριβὲς ἠκηκόει, ὁ δὲ οὐδ' ὡς ἀνίει, οὐδὲ
somewhere to the exact he-had-heard he and not-even so slackened nor
τὴν ξυνενεχθεῖσαν ἐδείμαινε τύχην, ἀλλὰ τῷ τε χώρῳ
the having-happened feared fortune but in-the both place
πίσυνος καὶ τῇ τῶν ἀναγκαίων εὐπορίᾳ, θρασύς τε ἦν
trusting and in-the of-the necessities abundance bold both he-was
ἔτι καὶ ὑψαύχην καὶ οἷος ἀμύνεσθαι, ἤν τις ἐπίοι.
still and boastful and such-as to-defend-himself if anyone should-attack
9 Εὐθὺς δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος προσῆγε τὸν
at-once indeed then — Narses having-urged-on brought-up the
στρατόν. οἱ δὲ σὺν πολλῷ πόνῳ ἐς τὸ γεώλοφον
army they and with much toil to the hillock
ἀναβάντες, καὶ τῷ φρουρίῳ πελάσαντες, αὐτίκα τοῖς
having-gone-up and to-the fortress having-approached straightway with-the
δορατίοις ἠκόντιζον τῶν ἐν ταῖς ἐπάλξεσι φαινομένων,
javelins hurled-at of-the(-men) on the battlements appearing
καὶ τὰ τόξα ἐπήχουν θαμὰ τῶν βελῶν ἀναπεμπομένων,
and the bows twanged frequently the missiles being-sent-up
σφενδόναι τε ἐφέροντο μετάρσιοι, καὶ μηχανήματα
slings both were-carried aloft and engines
ὁπόσα πρὸς τειχομαχίαν ἀνεῖται, ἅπαντα ἐκινεῖτο. οἱ
as-many-as for wall-fighting are-devoted all were-set-in-motion they

δὲ ἀμφὶ τὸν Ἀλίγερνον ἀνὰ τὰ μεταπύργια τοῦ τείχους
and about — Aligern along the curtains of-the wall
ξυνειλεγμένοι, οὐ σχολαίτερον ἀντακοντίζοντές τε καὶ
gathered not more-leisurely hurling-back both and
ἀντιτοξεύοντες διεμάχοντο, λίθους τε ἐκ χειρῶν μεγάλους
shooting-back fought-it-out stones both from hands great
ἐπαφιέντες, καὶ φιτροὺς καὶ πελέκεις, καὶ ὅπερ ἂν οὐ
letting-fly and logs and axes and what-very — not
πόρρω τῆς χρείας ἐδόκει, μηχαναῖς τε ἐχρῶντο καὶ
far from-the need seemed with-engines both they-used and
ἀμυντηρίοις, καὶ οὐδὲν ὅ, τι παρεῖτο. τά γε μὴν
with-defenses and nothing what ever was-neglected the at-least however
Ἀλιγέρνου τοξεύματα καὶ μάλα τοῖς Ῥωμαίοις ἀρίδηλα
of-Aligern arrows also very to-the Romans conspicuous
ἦν. ῥοίζῳ τε γὰρ πολλῷ καὶ ταχυτῆτι οὐ σταθμητῇ
were with-whizzing both for much and with-speed not measurable
τὰ ἐκείνου ἐφέρετο βέλη· ὡς εἴπερ καὶ ἐς λίθον
the his were-borne missiles so-that if-indeed even into stone
τινὰ ἐμπέσοιεν, ἢ ἕτερόν τι σκληρὸν καὶ ἀτέραμνον,
some they-should-fall or other something hard and unyielding
διαῤῥήγνυσθαι ἅπαν τῇ βίᾳ τῆς ῥύμης. Παλλάδιον γοῦν
to-be-shattered all by-the force of-the rush Palladius at-any-rate
ἐκεῖνον (ἦν δὲ οὐ τῶν ἐῤῥᾳθυμημένων παρὰ τῷ Ναρσῇ
that(-man) was and not of-the(-ones) neglected by — Narses
ὁ Παλλάδιος, ἀλλὰ στρατεύματός τε ἡγεῖτο Ῥωμαϊκοῦ,
— Palladius but (an)-army both he-led Roman
καὶ ἐν τοῖς μεγίστοις ταξιάρχοις ἐτέλει,) ἰδὼν
and among the greatest taxiarchs ranked having-seen
γοῦν Ἀλίγερνος αὐτόν, σιδήρῳ τε τεθωρακισμένον, καὶ
at-any-rate Aligern him with-iron both armored and
φρονήματι ξὺν πολλῷ τῷ τείχει ἐπιφερόμενον, ἀφίησι
with-spirit with much at-the wall advancing lets-go

βέλος αὐτῷ ἐκ τοῦ μετεώρου, καὶ αὐτίκα διεπερόνησεν
(a)-missile at-him from the height and straightway pierced
τὸν ἄνδρα διαμπὰξ αὐτῷ θώρακι καὶ ἀσπίδι· οὕτω δή
the man right-through with-the breastplate and shield so indeed
τι δυνάμει τε τῶν πολλῶν περιῆν, καὶ καρτεραὶ
somewhat in-power both than-the many he-excelled and strong
αὐτῷ ἐρύσαι τόξον αἱ χεῖρες· πολλαῖς μὲν οὖν καὶ
for-him to-draw (the)-bow the hands many indeed then and
ἐφεξῆς ἡμέραις οἱ τοιοίδε ἀκροβολισμοὶ ἐγίγνοντο, καὶ
successive days the such skirmishes took-place and
οὐδὲν οὐδὲ ὁποτέροις προὐχώρει τῶν ἐλπισθέντων·
nothing not-even for-either-side went-forward of-the(-things) hoped
τοῖς τε γὰρ Ῥωμαίοις αἰσχρὸν ἐδόκει ἡ ἀναχώρησις
for-the both for Romans shameful seemed the withdrawal
πρὶν παραστήσασθαι τὸ χωρίον, καὶ οἱ Γότθοι ἔνδηλοι
before to-win-over the place and the Goths evident
ἦσαν ὡς οὐδέν τι μᾶλλον ἐνδωσείοντες τῇ πολιορκίᾳ.
were that nothing at-all more going-to-yield to-the siege

Narses tries to take Cumae by mining under the wall through the cave of the Sibyl, and the wall falls without opening the town. He leaves a blockade, wins over the towns of Tuscany, and besieges Luca, which has broken its sworn terms; he deceives its citizens with a feigned execution of their hostages. The Erulian general Fulcaris is cut down near Parma when he rashly attacks the Franks, and the Roman army falls back to Faventia. Agathias sketches Narses' character, and Narses heartens his army.

Ναρσῆς δὴ οὖν ὁ στρατηγὸς ἤσχαλλέ τε ἄγαν καὶ 10
Narses indeed then the general was-vexed both very and
ἐχαλέπαινεν, εἰ χρόνος τοῖς Ῥωμαίοις πολὺς ἐν ἐλαχίστῳ
was-angry if time for-the Romans much in (a)-very-small
πολιχνίῳ τετρίψεται. ἀλύοντι δέ οἱ καὶ ἕκαστα
township will-be-spent fretting and for-him and each(-thing)
γνωματεύοντι, ἔδοξεν χρῆναι ἀποπειρᾶσθαι τοῦ φρουρίου
considering it-seemed to-be-needful to-make-trial-of the fortress
ἀμηγέπη τρόπῳ τοιῷδε. ἐν τῷ πρὸς ἥλιον ἀνίσχοντα τοῦ
somehow in-manner such in the toward (the)-sun rising of-the
λόφου τετραμμένῳ ἀγκῶνι ἄντρον τι ὕπεστιν ἀμφηρεφές
hill turned bend cave some lies-under overarched
τε καὶ γλαφυρώτατον, ὡς ἄδυτά τε ἔχειν αὐτόματα
both and most-hollowed so-as inner-shrines both to-have natural
καὶ κῦτος εὐρὺ καὶ βαραθρῶδες· ἐνταῦθα δὴ πάλαι
and (a)-hollow wide and pit-like there indeed of-old
φασὶ τὴν Σίβυλλαν τὴν πάνυ, τὴν Ἰταλήν, ἐνδιαιτωμένην,
they-say the Sibyl the very the Italian living
φοιβόληπτόν τε εἶναι καὶ ἔνθουν, καὶ προαγορεύειν
Phoebus-possessed both to-be and inspired and to-foretell
τὰ ἐσόμενα τοῖς πυνθανομένοις. λέγεται δέ ποτε
the(-things) going-to-be to-the(-ones) inquiring is-said and once

καὶ Αἰνείαν τὸν Ἀγχίσου αὐτοῦ ἀφικόμενον ἅπαντά οἱ
also Aeneas the of-Anchises there having-arrived all to-him
τὴν Σίβυλλαν φάναι τὰ ὕστερον ξυνενεχθέντα. ὑπὲρ
the Sibyl to-say the(-things) later having-befallen above
ταύτην δὴ οὖν τὴν σπήλυγγα μέρος τι τοῦ περιβόλου
this indeed then the cavern part some of-the circuit-wall
ἐρήρειστο καὶ ἐφειστήκει. Ναρσῆς δὲ τοῦτο ἐπιφρασάμενος
had-been-set and stood Narses and this having-noticed
πρὸς αὐτοῦ εἶναι ᾠήθη, καὶ οὖν αὐτίκα ἄνδρας ὡς
to his-advantage to-be thought and then straightway men as
πλείστους ὑπὸ τὰ κοῖλα ἐμβαλὼν τοῦ σπηλαίου, ὄργανα
most under the hollows having-put of-the cave tools
φέροντας λιθοτόμα καὶ τειχωρύχα, ἐξεκόλαπτεν ἠρέμα
carrying stone-cutting and wall-digging chiseled-out quietly
καὶ διέτεμεν τοῦ ἄντρου τὸν ὄροφον, ἔνθα τὸ ἔρυμα
and cut-through of-the cave the roof where the wall
ἤδραστο, καὶ ἐς τοσοῦτον ἐξέκοπτεν καὶ διεκάθαιρεν
had-been-founded and to so-much hewed-out and cleared-out
τὴν βάσιν τῆς οἰκοδομίας, ἐς ὅσον ἤδη τὴν ἀρχὴν τοῦ
the base of-the building as much already the beginning of-the
θεμελίου ἀπογυμνοῦσθαι. τότε δὲ ξύλα ὄρθια ἐν κόσμῳ
foundation to-be-laid-bare then and timbers upright in order
ὑπεστήριζε, ταύτῃ τε ἀνεῖχεν ἅπαν τὸ ἄχθος τοῦ τείχους,
propped-under in-this-way both held-up all the weight of-the wall
ὡς μὴ ὑποῤῥέοι κατὰ βραχὺ καὶ διαλύοιτο ἡ ἁρμονία,
so-that not it-might-subside by little and be-dissolved the joining
συναίσθησίς τε τοῦ δρωμένου ταχεῖα γίγνοιτο τοῖς
perception both of-the(-thing) being-done quick might-become to-the
Γότθοις. ἦ γὰρ ἂν κατ᾽ ἀρχὰς εὐθὺς ἐπιβοηθοῦντες,
Goths truly for — at (the)-beginnings at-once helping
καὶ τὸ πεπονθὸς ἀκεσάμενοι, διεφύλαττον τολοιπὸν
and the(-part) having-suffered having-cured they-would-have-guarded the-rest

βεβαιότατα· ἵνα δὲ μὴ πάμπαν τὰ ποιούμενα
most-securely so-that and not altogether the(-things) being-done
ἐπιγνοῖεν, μηδὲ τοῦ πατάγου τῆς λατομίας ἐπαΐοιεν,
they-might-recognize nor the noise of-the quarrying might-hear
τότε δὴ ἐς ὅτι μάλιστα ἐπεφέροντο ἄνωθεν τῷ τείχει ὁ
then indeed to what most attacked from-above the wall the
τῶν Ῥωμαίων στρατός, ἀλαλάζοντες καὶ ἐπικροτοῦντες·
the Romans army raising-the-war-cry and clapping
θόρυβός τε ἦν πέρα τοῦ ἀναγκαίου πολὺς καὶ ταραχώδης
(a)-din both was beyond the necessary great and tumultuous
ἡ πολιορκία. ἐπεὶ δὲ ἅπαν ἤδη τὸ τεῖχος ὁπόσον
the siege when and all already the wall as-much-as
τῷ ἄντρῳ παρετέτατο, ἐκκρεμές τε ἦν καὶ μετέωρον,
along-the cave had-extended hanging both was and aloft
καὶ μόνοις ἐπεβεβήκει τοῖς ξύλοις, ἃ δὴ ὀρθοστάδην
and alone rested on-the timbers which indeed upright
ἐτύγχανον ἐρηρεισμένα, τότε δὴ φυλλάδα νήσαντες,
happened propped then indeed brushwood having-heaped
καὶ ὅ, τι τῆς ὕλης ταχυδαές τε καὶ αὖον, καὶ εἶτα
and what ever of-the wood quick-burning both and dry and then
ὑποθέντες πῦρ τε ἐναύσαντες, ἐκτὸς ἀπεχώρουν. οὐκ
having-put-under fire both having-kindled outside withdrew not
ἐς μακρὰν δὲ τῆς φλογὸς ἀρθείσης, τὰ μὲν στηρίγματα
at long and the flame having-risen the indeed props
εὐθὺς ἀνθρακούμενα κατεθραύετο, καὶ πρὸς τὴν ἀντίθεσιν
at-once being-charred broke and to the resistance
ἐνεδίδου· τοῦ δὲ ἐρύματος ὁπόσον ἐπ᾽ αὐτοῖς ἠωρεῖτο,
gave-way of-the and wall as-much on them hung
ὑφίζανεν ἀθρόον καὶ κατωλίσθαινεν τῇ κενότητι,
settled all-at-once and slid-down into-the void
πύργοι τε οἱ ἐνθένδε καὶ προμαχεῶνες ἐξαπιναίως
towers both the(-ones) from-there and battlements suddenly

ἀποῤῥαγέντες τῶν ἄλλων, ἐς τὸ πρανὲς ἐξεκυλίσθησαν·
torn-away from-the others to the slope rolled-down
ἥ τε πύλη ἡ τῷδε τῷ μέρει προσαραρυῖα, ξυνεκέκλειστο
the both gate the to-this the part fitted had-been-shut
μὲν εὖ μάλα βεβαιότατα, ὡς δὴ πολεμίων παρόντων,
indeed well very most-securely as indeed of-enemies being-present
καὶ τὰ κλεῖθρα ὑπὸ τῶν φυλάκων κατείχετο, ἡ
and the bars by the guards were-held the(-one)
δὲ αὐτοῖς μοχλοῖς τε καὶ βαλανάγραις ἐκτιναχθεῖσα,
and with-the-very bolts both and bolt-pins shaken-out
ἐς τὴν ἠΐονα καὶ τὰς σπιλάδας ἐρήριπτο, ἅμα τε
to the shore and the rocks was-hurled together both
ἅπαντα τὰ ξυμπεπηγότα ἔτι ἐκλύζετο, σταθμοὶ
all the(-things) fixed-together still were-washed-away doorposts
καὶ γεῖσον καὶ ὑπερθύριον καὶ οἱ θαιροὶ τῷ οὐδῷ
and cornice and lintel and the hinges to-the threshold
ἐνηρμοσμένοι· τούτων δὲ γεγενημένων, τοῖς Ῥωμαίοις
fitted these and having-happened for-the Romans
ῥᾳδίως τολοιπὸν εἰσιτητέα εἶναι ἐδόκει ἀνὰ τὸ πόλισμα,
easily the-rest one-must-enter to-be it-seemed into the town
καὶ περιοπτέα τῶν πολεμίων, ἡμάρτανον δὲ καὶ ὡς
and one-must-disregard the enemies they-missed and even so
τῆς ἐλπίδος. σήραγγές τε γάρ τινες καὶ ἀποῤῥῶγες
of-the hope clefts both for some and crags
τοῦ τε λόφου καὶ τῶν ἔνδοθεν περιαυλισμάτων ἐπὶ
of-the both hill and of-the inside enclosures to
μέγα ἐκτεινόμεναι, κρημνῶδες ἀτεχνῶς καὶ δυσέμβολον
great extending precipitous utterly and hard-to-assail
οὐχ ἧσσον ἀπεδείκνυσαν τὸ χωρίον. καὶ Ναρσῆς μὲν
no less showed the place and Narses indeed
θαρσαλεώτερον τῷ φρουρίῳ αὖθις προσέβαλλεν, ὡς καὶ
more-boldly the fortress again attacked as even

αὐτοβοεὶ ἅπαν ἀναρπασόμενος· τῶν δὲ Γότθων ἐνταῦθα
at-the-first-shout all going-to-seize the and Goths there
ξυνειλεγμένων καὶ παντὶ σθένει ἀμυνομένων, ἀπεκρούετο
gathered and with-all strength defending was-beaten-off
καὶ οὐδέν τι μᾶλλον εἶχεν ἀνύτειν.
and nothing at-all more was-able to-accomplish
Ἐπεὶ δὲ πολέμῳ τε καὶ ἐπιδρομαῖς ἑλεῖν δήπου τὸ χωρίον 11
since and by-war both and by-incursions to-take surely the place
ἀδύνατα ἦν, ἔγνω μὴ ἁπάσῃ τῇ στρατιᾷ ἐν τοῖσδε
impossible was he-resolved not with-all the army in these
διαπονεῖσθαι, ἀλλ' ἐς Φλωρέντειαν καὶ Κεντουκέλλας
to-toil but to Florentia and Centumcellae
καὶ ἄλλα ἄττα πολίσματα τῆς Τουσκίας χώρας
and other certain towns — of-Tuscany land
εὐθὺς ἀφικέσθαι, ἅπαντά τε τὰ τῇδε καταστησάμενος
at-once to-come all both the there having-settled
προτερῆσαι τὴν ἐπήλυσιν τῶν πολεμίων. ἤδη γὰρ
to-anticipate the approach of-the enemies already for
αὐτῷ Λεύθαρις καὶ Βουτιλῖνος καὶ τὰ Φράγγων δὲ
to-him Leutharis and Butilinus and the of-Franks and
καὶ Ἀλαμανῶν στρατεύματα εἴσω τοῦ Πάδου ποταμοῦ
and of-Alamanni armies within the Po river
ἠγγέλλοντο παρεῖναι, ὧν δὴ ἕνεκα κινήσας ὡς
were-reported to-be-present which indeed for-the-sake having-moved as
τάχιστα τὸ πλεῖστον τοῦ στρατοῦ ἐπὶ ταύτην ἐχώρει.
quickest the most(-part) of-the army against this went
ἐπεὶ δὲ Φιλίμουθ ὁ τῶν ξυνεπομένων Ἐρούλων στρατηγὸς
since and Philemuth the of-the following Eruli general
οὐ πολλαῖς πρότερον ἡμέραις νόσῳ ἁλοὺς ἐτεθνήκει,
not many earlier days by-disease seized had-died
ἔδει δὲ ἄρα αὐτοὺς ὑπ' ἰδίῳ τινὶ τάττεσθαι ἡγεμόνι,
it-was-needful and then them under own some to-be-ranged leader

αὐτίκα ὅ γε Φούλκαριν αὐτοῖς τὸν ὁμόφυλον ἐπιστήσας,
straightway he at-least Fulcaris to-them the kinsman having-set-over
τὸν Φανιθέου ἀδελφιδοῦν, ἐκέλευσεν ἅμα Ἰωάννῃ τῷ
the of-Phanitheus nephew ordered together-with John the
Βιταλιανοῦ, καὶ πρός γε Βαλεριανῷ καὶ Ἀρταβάνῃ, καὶ
of-Vitalian and besides at-least Valerian and Artabanes and
μὲν δὴ καὶ ἄλλοις στρατηγοῖς καὶ ταξιάρχοις, ξὺν τῷ
indeed indeed also other generals and taxiarchs with the
πλείονι καὶ ἀλκιμωτάτῳ στρατῷ, τὰς Ἄλπεις τὸ ὄρος
greater and most-valiant army the Alps the mountain
περιελθόντας, ὃ δὴ ἐν μέσῳ Τουσκίας τε τῆς
having-gone-around which indeed in (the)-middle of-Tuscany both the
χώρας, καὶ Αἰμιλείας ἀνέχει, ἀμφὶ τὸν Πάδον ἱκέσθαι
land and of-Aemilia rises about the Po to-reach
τὸν ποταμόν, αὐτοῦ τε στρατοπεδευσαμένους, καὶ τὰ
the river there both having-encamped and the
ἐρυμνὰ τῶν χωρίων προκαταλαβόντας ἀποκρούεσθαι
strong(-points) of-the places having-seized-first to-beat-off
καὶ ἀναστέλλειν τὰς τῶν πολεμίων ἐφόδους. καὶ εἰ μὲν
and to-check the of-the enemies onsets and if indeed
ἀπώσασθαι αὐτοὺς τελεώτατα δυνηθεῖεν, χάριν εἰδέναι
to-thrust-back them most-completely they-should-be-able thanks to-know
τῇ τύχῃ, εἰ δέ γε βιαζόμενοι τῷ πλήθει οἷοί τε
to-the fortune if and at-least being-overpowered by-the number able —
οὐκ εἶεν, ἀλλὰ σχολαιτέραν αὐτοῖς ποιήσασθαι τὴν
not they-should-be but slower for-them to-make the
πορείαν, καὶ οὐ μάλα θαρσαλέους ἀνὰ τὰ πρόσω
march and not very bold over the forward(-parts)
φοιτᾷν μεθιέναι, δεδίττεσθαι δὲ αὐτοὺς ἐς τὰ μάλιστα
to-roam to-let to-frighten and them in the most
καὶ εἴργειν ὡς πορρώτατω, ἕως αὐτὸς τὰ ἐν
and to-keep-off as farthest until he-himself the(-things) at

ποσὶν ἅπαντα ᾗ βούλοιτο διαθείη. οἱ μὲν οὖν
feet all as he-might-wish should-arrange they indeed then
κατὰ ταῦτα ἐχώρουν, κατέλιπεν δὲ καὶ ἐν Κύμῃ
according-to these(-orders) went left and also in Cumae
δύναμιν ἀξιόχρεων· ὅπως δὴ προσκαθεδούμενοι, καὶ
(a)-force sufficient so-that indeed going-to-sit-down-before(-it) and
ἔνδον τοὺς δυσμενεῖς ἐγκατείργοντες, χρονίᾳ γοῦν
inside the enemies shutting-in by-long at-any-rate
αὐτοὺς παραστήσοιντο πολιορκίᾳ. καὶ οἱ μέν, χαράκωμα
them they-might-win-over siege and they indeed (a)-stockade
περιεβάλλοντό τε, καὶ τὰς ἐξόδους ἐφύλαττον, εἴπου
threw-around both and the exits guarded if-somewhere
τινὰ ἕλοιεν ἐπὶ χιλὸν ἰόντα. ᾤοντο γὰρ αὐτοῖς ἤδη
any they-might-catch for fodder going they-thought for to-them already
που ἐς ἐνιαυτὸν πολιορκουμένοις, ἅπαντα ἐξαναλῶσθαι
somehow for (a)-year being-besieged all to-have-been-used-up
τὰ ἐπιτήδεια. Ναρσῆς δὲ ταῖς πόλεσι προσβαλὼν
the provisions Narses and the cities having-attacked
ἀκονιτὶ τὰς πλείστας προσηγάγετο. Φλωρέντιοι μὲν
without-dust the most won-over Florentines indeed
γὰρ ὑπαντιάσαντες καὶ τὰ πιστὰ κομισάμενοι, ὡς οὐδὲν
for having-met(-him) and the pledges having-received that nothing
ἄχαρι πείσονται, σφᾶς τε αὐτοὺς ἐθελονταὶ καὶ τὰ
unpleasant they-will-suffer them both selves willingly and the
οἰκεῖα παρέδοσαν. Κεντουκελλαῖοι δὲ ὅμοια ἔπρασσον.
own(-things) surrendered Centumcellaeans and like(-things) did
Βουλοτερ̣ρ̣αῖοι δὲ οὐκ ἄλλως, οὕτω δὲ καὶ Λουναῖοι, καὶ
Volaterrans and not otherwise thus and also Lunans and
μὲν δὴ καὶ Πισαῖοι. ὧδέ πως ἄρα αὐτῷ ἐξ οὐρίας
indeed indeed also Pisans thus somehow then for-him with (a)-fair-wind
ἅπαντα ἔθει, καί, ὁδῷ ἰὼν τὰ ἐν ποσὶν ἐχειροῦτο.
all ran and on-the-road going the(-things) at feet he-subdued

12 Μόνοι δὲ οἱ ἐν Λούκᾳ τῇ πόλει διαμέλλειν ἐπειρῶντο,
alone and the(-ones) in Luca the city to-delay tried
καὶ ἥκιστα ἐφιέναι, καίτοι πρότερον ἐτύγχανον οἵδε
and least to-yield and-yet earlier happened these
ξυνθήκας θέμενοι πρὸς Ναρσῆν, ὁμήρους τε παρασχόντες,
terms having-made with Narses hostages both having-given
καὶ ἐπομοσάμενοι, ὡς εἴγε τριάκοντα παραδράμοιεν
and having-sworn that if-indeed thirty should-run-past
ἡμέραι, καὶ μή τις αὐτοῖς μεταξὺ παραγένοιτο ξυμμαχία,
days and not any to-them meanwhile should-arrive alliance
ὁπόση οἷα τε εἶναι ἀμύνασθαι, καὶ ἐς πόλεμον ἐμφανῆ,
as-much-as able — to-be to-defend(-them) and into battle open
οὐκ ἐκ πύργων τε καὶ περιβόλων ἀλλὰ συστάδην
not from towers both and circuit-walls but at-close-quarters
παρατάξασθαι· εἰ μὴ ταῦτα οὕτω ξυνενεχθεῖεν, ἦ μὴν
to-be-arrayed if not these(-things) so should-happen truly —
αὐτίκα τὴν πόλιν ἐγχειριεῖν καὶ παραδώσειν. ᾤοντο γὰρ
at-once the city to-hand-over and to-surrender they-thought for
οὐκ ἐς μακρὰν παρέσεσθαι τοὺς Φράγγους καὶ ἐπαρήξειν.
not at long to-be-present the Franks and to-help
τούτοις δὲ πίσυνοι τὰς τοιάσδε ἐπεποίηντο ξυνθήκας.
in-these and trusting the such had-made terms
ἀλλὰ τότε ἡ μὲν κυρία παρῳχήκει, οἱ δὲ οὔπω
but then the indeed appointed(-day) had-passed they and not-yet
παρῆσαν, τοῖς δὲ καὶ ὡς βουλομένοις ἦν περιορᾷν
were-present to-them and even so wishing it-was to-disregard
ἀμέλει καὶ ἀναίνεσθαι τὰ ξυγκείμενα. Ναρσῆς μὲν
certainly and to-reject the(-things) agreed Narses indeed
οὖν ἐξαπατηθείς, ὥσπερ εἰκός, ἐχαλέπαινε, καὶ ἐς
then having-been-deceived as likely was-angry and for
τειχομαχίαν παρεσκευάζετο. ἐνίοις δὲ τῶν ἀμφ' αὐτὸν
wall-fighting prepared to-some and of-the(-ones) about him

καὶ χρῆναι ἐδόκει τοὺς ὁμήρους ἅπαντας διαφθαρῆναι,
even to-be-needful it-seemed the hostages all to-be-destroyed
ὡς ἂν οἱ ἐν τῷ ἄστει ἀνιαθεῖεν, καὶ ταύτῃ
so-that — the(-ones) in the town might-be-grieved and in-this-way
ποινὰς ὑφέξοιεν τῆς ἀπιστίας. ὁ δὲ στρατηγός, γνώμῃ
penalties might-pay of-the faithlessness the and general by-judgment
γὰρ ἅπαντα ἔπρασσεν, καὶ οὐ λίαν τῇ ὀργῇ ξυνεχώρει,
for all he-did and not very to-the anger yielded
οὐκ ἐς τόδε ὠμότητος ἦει, ὡς ἀποκτεῖναι τοὺς μηδὲν
not to this of-cruelty went as to-kill the(-ones) nothing
ὅ, τι ἠδικηκότας, ἀνθ᾽ ὧν ἕτεροι ἐπλημμέλουν, δόλον
what ever having-wronged for which others offended trick
δὲ ὅμως τοιόνδε τινὰ ἐμηχανήσατο. παρῆγε γὰρ
and nevertheless such some devised he-brought-forward for
ἐς μέσον αὐτοὺς ἐναλλάγδην μὲν τὼ χεῖρε ὑπὸ τὴν
into (the)-middle them crosswise indeed the two-hands under the
ἰξὺν περιεσφιγμένους, κάτω δὲ τὸ κάρα ἐπινενευκότας,
loins bound downward and the head bowed
ἐπεδείκνυέν τε τοῖς ὁμοφύλοις, οὕτω πως οἰκτρότατα
displayed both to-the kinsmen thus somehow most-piteously
διακειμένους, καὶ ἠπείλει θᾶττον αὐτοὺς ἀναιρήσειν, εἰ
disposed and threatened quickly them to-kill if
μὴ τάχιστα φθάσαιεν ἐκεῖνοι διαπραξάμενοι τὰ
not quickest should-anticipate those having-accomplished the(-things)
ὁπόσα ἐτύγχανον ὡμολογηκότες. ξύλα δὲ αὐτοῖς βραχέα
as-many-as they-happened having-agreed timbers and for-them short
ἐκ τοῦ μεταφρένου ἐπὶ τοὺς τένοντας ὑπεβέβληντο,
from the back to the sinews had-been-put-under
ῥάκεσί πως κεκαλυμμένα, ὡς μὴ διορῷεν καὶ
with-rags somehow covered so-that not might-see-through even
πόῤῥωθεν οἱ πολέμιοι. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, αὐτίκα
from-afar the enemies when and not they-obeyed straightway

ἐκέλευε δῆθεν στοιχηδὸν ἅπαντας καρατομεῖσθαι, καὶ οἱ
he-ordered forsooth in-a-row all to-be-beheaded and the
δορυφόροι σπασάμενοι τὰ ξίφη βιαιότατα, ἔπαιόν τε
guards having-drawn the swords most-violently struck both
καὶ ἐπεφέροντο, ὡς δὴ τοὺς αὐχένας ἀποτεμοῦντες· ἡ
and attacked as indeed the necks going-to-cut-off the
δὲ πληγὴ τοῖς ξύλοις ἐγχρίπτουσα, οὐδέν τι αὐτοὺς
and blow on-the timbers striking nothing at-all them
μᾶλλον ἐσίνετο, κατέπιπτον δὲ ὅμως πρηνεῖς ἐκεῖνοι,
more harmed fell-down and nevertheless headlong those(-men)
προστεταγμένον αὐτοῖς, ἴσπαιρόν τε ἐθελούσιοι, καὶ
(as)-ordered for-them gasped both willingly and
ἰλυσπῶντο, ὑποκρινόμενοι τὸ διολωλέναι. ἰδόντες δὲ οἱ
writhed pretending the to-have-perished having-seen and the(-ones)
ἐν τῷ ἄστει, καὶ τῷ διεστάναι ὡς πλεῖστον οὐ τὰ ἀληθῆ
in the town and by-the to-stand-apart as most not the true(-things)
διασκοποῦντες ἀλλ᾽ ἢ τὰ φαινόμενα, ὠλοφύροντό
examining but rather the(-things) appearing lamented
τε ἀθρόον, καὶ ξυμφορὰν ἐποιοῦντο τὰ γεγενημένα.
both all-together and (a)-calamity made the(-things) having-happened
ἦσαν γὰρ οἱ ἄνδρες οἱ ὁμηρεύοντες οὐ τῶν πολλῶν τε καὶ
were for the men the serving-as-hostages not of-the many both and
ἀγεννῶν, ἀλλ᾽ ἐπίσημοι ἐν τοῖς μάλιστα, καὶ εὐπατρίδαι.
ignoble but notable in the most and well-born
ὡς δὴ οὖν τοιούτων αὐτοὺς ἀποστερεῖσθαι οἰομένους,
as indeed then such them to-be-deprived thinking
κωκυτὸς ἐπεῖχε μυρίος, οἰμωγαί τε ἠκούοντο θαμιναί,
wailing seized countless lamentations both were-heard frequent
καὶ φθέγμα θρηνῶδες καὶ διωλύγιον, γύναια δὲ πολλὰ
and (a)-voice mournful and loud women and many
διαπληκτιζόμενα καὶ τὰς ἐφεστρίδας περιῤῥηγνύντα, ἀνὰ
beating-themselves and the cloaks tearing over

τοὺς προμαχεῶνας ἐφοίτων, τυχὸν μὲν μητέρες οὖσαι
the battlements roamed perhaps indeed mothers being
τῶν ἀπολωλέναι δοκούντων, τυχὸν δὲ ἐπίκληροι,
of-the(-ones) to-have-perished seeming perhaps and heiresses
τυχὸν δὲ ἄλλῳ ὁτῳοῦν τρόπῳ μέλον αὐταῖς. καὶ δὴ
perhaps and in-other any manner being-a-care to-them and indeed
τῷ Ναρσῇ ἅπαντες ἀναφανδὸν ἐλοιδοροῦντο, ἀλαζόνα τε
— Narses all openly reviled (a)-braggart both
ἀποκαλοῦντες καὶ ἀτάσθαλον, καὶ ἔργῳ μὲν αὐτὸν εἶναι
calling and reckless and in-deed indeed him to-be
λέγοντες βίαιόν τε καὶ μιαιφόνον, τὴν δὲ τοῦ εὐσεβεῖν ἀεὶ
saying violent both and bloodstained the and of-the to-be-pious always
καὶ τὸ θεῖον θεραπεύειν δόξαν ἄλλως αὐτῷ κεκομψεῦσθαι.
and the divine to-serve reputation vainly by-him to-have-been-affected
Ταῦτα δὲ αὐτῶν ἐπιβοώντων, "ἆρα οὖν οὐχ ὑμεῖς" 13
these(-things) and them shouting then then not you
ἔφη ὁ Ναρσῆς "τοῖσδέ τε αἴτιοι ὀλέθρου γεγένησθε
said — Narses for-these both (the)-cause of-destruction have-become
περιφρονήσαντές γε αὐτοὺς καὶ καταπροέμενοι; ὑμῖν
having-despised at-least them and having-abandoned(-them) for-you
τε αὐτοῖς οὐ τὰ χρηστὰ βουλευσάμενοι φανεῖσθε ὅρκον
both yourselves not the good(-things) having-planned you-will-appear (an)-oath
ἐπίορκον ὀμωμοκότες, καὶ ἀναίδην παρασπονδήσαντες.
perjured having-sworn and shamelessly having-broken-the-truce
ἀλλ' εἴ γε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ συνοῖσον,
but if at-least even now you-should-wish to-learn-better the advantageous
καὶ ἔργῳ τὰ ξυγκείμενα διανύσασθαι οὐδέν τι
and in-deed the(-things) agreed to-accomplish nothing at-all
ἔλαττον ἕξετε. οὗτοί τε γὰρ αὖθις ἀναβιώσονται, καὶ
less you-will-have these both for again will-come-to-life and
τὴν πόλιν ὑμῶν ἥκιστα πημανοῦμεν. εἰ δὲ μή, οὐ τῶνδε
the city your least we-will-harm if and not not these

πέρι ὑμῖν τολοιπὸν ἀλγητέον, ἀλλ᾽ ἤδη φράζεσθε ὅπως
about for-you the-rest one-must-grieve but already consider so-that
μὴ καὶ αὐτοὶ ἅπαντες ὅμοια πείσησθε. ταῦτα δὲ
not also yourselves all like(-things) you-suffer these(-things) and
ἐπεὶ ἤκουον οἱ Λουκανοί, ἐξαπατᾶν γε αὐτὸν ἡγοῦντο
when heard the Lucans to-be-deceiving at-least him they-thought
καὶ φενακίζειν ἐπὶ τῇ τῶν κειμένων ἀναζωγρήσει. καὶ
and to-be-tricking on the of-the(-ones) lying restoration-to-life and
ἦσαν γὰρ ὡς ἀληθῶς ἀπάτη οἱ λόγοι, οὐ μέντοι γε
were for as truly (a)-deceit the words not however at-least
ᾗπερ ἐκεῖνοι ᾠοντο, προθυμότατα δὲ αὖθις ἀνωμολόγουν
as-very they thought most-eagerly and again agreed
ὅμως καὶ ἐπώμνυντο, σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν
nevertheless also swore them both selves and the city
αὐτίκα παρέξειν αὐτῷ, ἐς ὅ, τι βούλοιτο χρῆσθαι,
at-once to-hand-over to-him to what ever he-might-wish to-use
εἴγε τοὺς ὁμήρους ἴδοιεν περιόντας· ἅτε δὴ γὰρ
if-indeed the hostages they-should-see surviving as indeed for
αὐτοῖς ἀδύνατον εἶναι δοκοῦν τοὺς τεθνεῶτας ἀναβιῶναι,
to-them impossible to-be seeming the dead to-come-to-life
εὐπρεπέστατα ἡγοῦντο ταύτῃ γοῦν ἀποσείσασθαι τὸ
most-plausibly they-thought in-this-way at-any-rate to-shake-off the
ἐπίκλημα, καὶ ἐπὶ σφᾶς αὐτοὺς τὰ δίκαια μεταθεῖναι. τότε
charge and onto them selves the justice to-shift then
δὴ οὖν ὁ Ναρσῆς ἐγκελευσάμενος, ἀνίστησί τε αὐτοὺς
indeed then — Narses having-given-the-order raises both them
ἀθρόον, καὶ ἐπεδείκνυντο τοῖς ὁμοφύλοις σῶοί τε καὶ
all-together and they-were-shown to-the kinsmen safe both and
ἀδήλητοι. οἱ δὲ ἐπιδόντες αὐτούς, κατεπλήττοντο μέν,
unharmed they and having-looked-on them were-astounded indeed
ὥσπερ εἰκός, τῷ παραλόγῳ τῆς θέας, οὐ μὴν οὐδὲ
as likely at-the unexpectedness of-the sight not however not-even

ὡς ἅπαντες ἐκτελεῖν τὰ ὁμωμοσμένα ᾤοντο χρῆναι,
so all to-fulfill the(-things) sworn thought to-be-needful
ἀλλ᾽ ἦσαν οἳ καὶ ἀνήνοντο. ἐπειδὴ γὰρ αὐτοῖς περιῆσαν
but there-were who also refused when for for-them survived
οἱ ἄνδρες, καὶ τὸ ἀλγοῦν τῆς γνώμης καὶ ἀνιώμενον
the men and the grieving of-the mind and vexed
ἐς τὸ εὔελπι μετεβέβλητο, πάλιν, ἅτε δὴ ὅμιλος, ἐς
to the hopeful had-changed again as indeed (a)-throng to
τὰ πρότερα ἐπανῄεσαν καὶ τὰ τῆς ἀπιστίας ἐνίκα.
the former(-ways) returned and the(-counsels) of-the faithlessness prevailed
ἐς τοῦτο δὲ αὐτῶν ἀβελτερίας ἐληλακότων, Ναρσῆς ὁ
to this and them of-folly having-come Narses the
στρατηγὸς πολλῇ χρώμενος τῇ μεγαλοφροσύνῃ, ἀφίησι
general much using the magnanimity releases
τούτους εὐθύς, καὶ ἐς τὰ οἰκεῖα ἐκπέμπει, οὔτε
these at-once and to the(-homes) own sends-away neither
λύτρα κομισάμενος, οὔτε ἄλλο τι τὴν πόλιν ὁμολογεῖν
ransom having-received nor other anything the city to-agree
ἀναγκάσας. θαυμαζόντων δὲ τῶν Λουκανῶν, καὶ ὅτου δὴ
having-compelled wondering and the Lucans and for-what indeed
ἕνεκα τοῦτο δράσειεν ἀμφιγνοούντων, “οὐ σύνηθες
for-the-sake this he-might-have-done being-in-doubt not customary
ἐμοί γε” ἔφη “βωμολοχίαις τε καὶ γλίσχραις ἐλπίσιν
for-me at-least he-said with-buffooneries both and with-sordid hopes
ἐγκαλλωπίζεσθαι. οἶμαι γὰρ καὶ τούτων ἄνευ, εἰ μὴ ὡς
to-pride-myself I-think for also these without if not as
τάχιστα ἑκόντες εἶναι προσχωρήσοιτε, ἀλλὰ ταῦτά γε
quickest willing to-be you-come-over but these(-things) at-least
ὑμᾶς παραστήσονται.” καὶ ἅμα λέγων ἐπεδείκνυεν
you will-win-over and at-the-same-time saying he-showed
τὰ ξίφη. οἱ μὲν δὴ ἄνδρες ἀφειμένοι, καὶ τοῖς
the swords the indeed indeed men released and with-the

ὁμοφύλοις ἀναμιχθέντες, ἐν εὐφημίᾳ πολλῇ τὸν Ναρσῆν
kinsmen having-mingled in praise much — Narses
ἐποιοῦντο ἐπὶ τοὺς ξυλλόγους φοιτῶντες· ἐμέμνητο δὲ
held to the gatherings going recalled and
τῆς κομιδῆς τε καὶ ἐπιμελείας ὁπόσης ἔτυχον πρὸς
of-the care both and attention as-much-as they-had-obtained from
αὐτοῦ, ὅτι τε μειλίχιος καὶ εὐόμιλος, καὶ τὸ μεγαλουργὸν
him that both gentle and affable and the magnificence
ἔχοι τῷ δικαίῳ ἀνακεκραμένον, ἑκασταχοῦ ἐψιθυρίζετο.
he-had with-the justice blended everywhere was-whispered
καὶ ἔμελλον ἄρα οὐκ ἐς μακρὰν οἵδε οἱ λόγοι μείζονα
and were-going then not at long these the words greater(-things)
τῶν ὅπλων διαπράττεσθαι, κατακηλοῦντες τοῦ πλήθους
than-the arms to-accomplish charming of-the multitude
ὁπόσον φίλερι καὶ παλίμβουλον, καὶ ὡς πλείστους
as-much-as contentious and fickle and as most
ἀναπείσειν τὰ Ῥωμαίων ἑλέσθαι.
to-persuade the(-side) of-Romans to-choose

14 Ἔτι δὲ τοῦ Ναρσοῦ τῇ πολιορκίᾳ προσκαθημένου, τὰ
still and — Narses to-the siege sitting-before the
ἐς Αἰμίλειαν σταλέντα τῶν Ῥωμαίων στρατεύματα ***,
to Aemilia sent of-the Romans armies (lacuna)
ἐταράττετο τοῖς ξυνενεχθεῖσι, καὶ δυσθυμίᾳ, ὥσπερ
was-disturbed by-the(-things) having-befallen and by-despondency as
εἰκός, πολλῇ ἑαλώκει. ἐπειδὴ γὰρ αὐτόσε ἀφίκοντο, τὰ
likely much had-been-seized when for thither they-came the
μὲν πρῶτα σὺν εὐβουλίᾳ τε καὶ τάξει ἅπαντα ἔπραττον.
indeed first(-things) with good-counsel both and order all they-did
καὶ εἴπου ἢ κώμην τινὰ ἢ πόλισμα δυσμενὲς
and if-somewhere either village some or town hostile
ληϊσόμενοι ἤεσαν, ξυντεταγμένοι εὖ μάλα ἐχώρουν, καὶ
going-to-plunder they-went drawn-up well very they-went and

οὐ πόῤῥω τοῦ μετρίου τὰς ἐπελάσεις ἐποιοῦντο· αἵ
not far from-the measure the forays made the
τε ἀναχωρήσεις αὐτοῖς οὐ διεσπασμέναι, ἀλλ᾽ ἐν κόσμῳ
both withdrawals for-them not scattered but in order
ἐγίγνοντο, τῶν μὲν ὀπισθοφυλάκων ἐν τῷ δέοντι χώρῳ
took-place the indeed rearguard in the needful place
μενόντων, ἐς πλαίσιον δὲ τῆς φάλαγγος ταττομένης,
remaining into (a)-square and the phalanx being-ranged
καὶ τὴν λείαν ἐς μέσον ἀπολαμβανούσης, ὡς ἂν
and the booty into (the)-middle taking so-that —
βεβαιότατα διασώζοιτο. οὕτω δὲ αὐτῶν τό γε κατ᾽
most-securely it-might-be-preserved thus and them the at-least at
ἀρχὰς τὰ πολέμια χωρία λυμαινομένων, ὀλίγαις
(the)-beginnings the hostile places ravaging (a)-few
ὕστερον ἡμέραις ἅπαντα διέῤῥει τὰ πραχθέντα καὶ
later days all flowed-away the(-things) done and
ἀνετέτραπτο. Φούλκαρις γὰρ ὁ τῶν Ἐρούλων στρατηγὸς
was-overturned Fulcaris for the of-the Eruli general
ἀνδρεῖος μὲν δήπου ἦν, καὶ οὐδενότι πολέμιον ἐπεφύκει
brave indeed surely was and nothing-whatever hostile was-wont
δειμαίνειν, θρασὺς δὲ καὶ ταραχώδης, καὶ τὸ δραστήριον
to-fear bold and and turbulent and the energy
οὐ μάλα ἐν δέοντι κεκτημένος, στρατηγοῦ τε καὶ ἡγεμόνος
not very in need having of-a-general both and of-a-leader
οὐ τὸ κοσμεῖν καὶ διατάττειν τὴν φάλαγγα γνώρισμα εἶναι
not the to-order and to-arrange the phalanx (a)-mark to-be
ἡγεῖτο· ἀλλ᾽ εἴπου προφανεὶς ἐν μάχῃ καὶ προαλλόμενος,
thought but if-somewhere appearing in battle and leaping-forward
θυμῷ τε ἀθρόον ἐμβαλὼν ἐς τοὺς ἀντιπάλους, ἔπειτα
with-passion both all-at-once having-charged into the opponents then
αὐτουργήσειε τὰ πολέμια, ταύτῃ γε ηὔχει
he-should-do-with-his-own-hand the(-things) of-war in-this-way at-least he-boasted

καὶ ἐβρενθύετο. τότε δὴ οὖν καὶ μᾶλλον ἐς ἀπειροκαλίαν
and swaggered then indeed then also more to vulgarity
ἠρμένος, ἐπιδρομὴν ἐς Πάρμαν ἐποιεῖτο τὴν πόλιν.
raised (an)-incursion to Parma made the city
ἐτύγχανεν δὲ ἡ Πάρμα ὑπὸ τῶν Φράγγων ἤδη κατεχομένη.
happened and — Parma by the Franks already being-held
προσῆκον δὲ αὐτὸν κατασκόπους πρότερον ἐκπέμψαι
being-fitting and him scouts first to-send-out
τοὺς γνωματεύσοντας ἐς τὸ ἀκριβὲς τὰ βουλεύματα τῶν
the(-ones) going-to-discern to the exact the plans of-the
πολεμίων, οὕτω τε ἐν τάξει ἐπὶ προεγνωσμένοις ἰέναι,
enemies thus both in order against foreknown(-things) to-go
ὁ δέ, προπετείᾳ μόνῃ καὶ ὁρμῇ παραλόγῳ πίσυνος,
he and on-rashness alone and on-impulse unaccountable relying
ἐπαγόμενος ξὺν ἀκοσμίᾳ τὸ τῶν Ἐρούλων στράτευμα, καὶ
bringing-on with disorder the of-the Eruli army and
ἄλλους ὁπόσοι ἐκ τῶν Ῥωμαϊκῶν εἵποντό οἱ ταγμάτων,
others as-many-as from the Roman followed him units
δρομαῖος ἐχώρει, οὐδενότι ἀντίξουν ἔσεσθαι ὑποτοπήσας.
at-a-run went nothing-whatever opposed to-be having-suspected
ταῦτα δὲ προμαθὼν Βουτιλῖνος ὁ τῶν Φράγγων
these(-things) and having-learned-beforehand Butilinus the of-the Franks
ἡγεμών, ἐς ἀμφιθέατρόν τι οὐ πόῤῥω τῆς πόλεως
leader into amphitheater some not far from-the city
ἱδρυμένον (ἀνεῖτο δὲ τοῦτο ἀνδράσιν, οἷς ὁ βίος
situated was-devoted and this to-men for-whom the life
θεωμένου τοῦ δήμου πρὸς θηρία διαγωνίζεσθαι,) ἐνταῦθα
watching the people against beasts to-contend there
δὴ οὖν ἀπολεξάμενος ἐκ τῶν οἰκείων στρατοπέδων τοὺς
indeed then having-picked from the own camps the
εὐθαρσεῖς τε καὶ μαχιμωτάτους ἀπέκρυπτε, καὶ μεγίστην
bold both and most-warlike hid(-them) and greatest

ἐνέδραν καταστησάμενος, ἐπεσκόπει καὶ ἀνέμενεν τὸν τοῦ
(an)-ambush having-set watched and waited-for the of-the
ἔργου καιρόν. ἐπεὶ δὲ Φούλκαρίς τε καὶ οἱ Ἔρουλοι εἴσω
action moment when and Fulcaris both and the Eruli inside
τῶν πολεμίων ἐτύγχανον προελθόντες, τότε δὲ δοθέντος
of-the enemies happened having-advanced then and having-been-given
τοῦ ξυνθήματος ἐκδραμόντες οἱ Φράγγοι, ἐσβάλλουσιν
the signal having-run-out the Franks fall
ἀθρόον ἐς αὐτοὺς ἀτάκτως τε καὶ παρημελημένως
all-at-once on them in-disorder both and carelessly
ἰόντας, εὐθύς τε οὐδενὶ κόσμῳ τοὺς ἐν χερσὶν ἅπαντας
going at-once both in-no order the(-ones) at hand all
τοῖς ξίφεσι διεχρῶντο, καταπλαγέντας τῷ αἰφνιδίῳ καὶ
with-the swords destroyed struck-with-terror by-the suddenness and
ἀπροσδοκήτῳ, μονονουχὶ σεσαγηνευμένους· μόλις δὲ οἱ
unexpectedness all-but caught-in-a-net scarcely and the
πλεῖστοι συναισθανόμενοι οὗπερ ἐγεγένηντο συμφορᾶς,
most perceiving of-what-very they-had-come misfortune
ἀγεννῆ καὶ αἰσχίστην ἠσπάζοντο σωτηρίαν. παραδόντες
ignoble and most-shameful welcomed safety having-given
γὰρ τὰ μετάφρενα τοῖς πολεμίοις, ἔφευγον προτροπάδην,
for the backs to-the enemies they-fled headlong
ἀλκῆς τε ἁπάσης ἐπιλελησμένοι καὶ τῆς χρονίας τῶν
of-resistance both all having-forgotten and of-the long of-the
κινδύνων μελέτης.
dangers practice
Οὕτω δὲ τοῦ στρατοῦ διαῤῥυέντος, Φούλκαρις ὁ 15
thus and the army having-flowed-apart Fulcaris the
στρατηγὸς ἅμα τοῖς ἀμφ᾽ αὐτὸν δορυφόροις
general together-with the about him guards
περιλελειμμένος, χρῆναι ᾤετο μὴ ὁμοίως ἀποδιδράσκειν,
left-behind to-be-needful thought not likewise to-run-away

ἄμεινον δὲ δράσειν θάνατον ἑλόμενος εὐκλεᾶ, ἢ τὸ
better and to-do death having-chosen glorious than the
ἀγεννῶς ἐπιβιῶναι. καὶ τοίνυν εἱστήκει ὡς οἷόν τε ἦν
ignobly to-survive and therefore stood as able — it-was
ἀσφαλέστατα, ἐπὶ τύμβῳ τινὶ τὰ νῶτα ἐρηρεισμένος,
most-securely on tomb some the back having-set
καὶ πολλοὺς τῶν πολεμίων διέφθειρεν, νῦν μὲν ἀθρόον
and many of-the enemies destroyed now indeed all-at-once
ἐπιών, νῦν δὲ ἀντωπὸς ἠρέμα ἐς τὰ ὀπίσω ὑποχαζόμενος.
attacking now and facing(-them) quietly to the rear withdrawing
ἐξὸν δὲ αὐτῷ καὶ ὣς ἔτι εὐκολώτατα ἀποδρᾶναι,
it-being-possible and for-him even so still most-easily to-run-away
καὶ τῶν ὀπαδῶν οὕτω ποιεῖν ἀντιβολούντων, "καὶ πῶς ἂν
and the attendants so to-do imploring and how —
ὑποσταίην τὴν γλῶτταν" ἔφη "Ναρσοῦ μεμφομένην μοι
could-I-endure the tongue he-said of-Narses blaming me
τῆς ἀβουλίας;" δεδιὼς δὴ οὖν, ὡς ἔοικε, τὴν κακηγορίαν
for-the ill-counsel fearing indeed then as it-seems the reproach
μᾶλλον τοῦ ξίφους, ἔμενεν καὶ ἐπὶ πλεῖστον ἀντεῖχεν,
more than-the sword he-remained and for most held-out
καὶ οὐκ ἀνίει μαχόμενος, ἕως τῷ πλήθει ξυνειλημμένος,
and not slackened fighting until by-the multitude caught
καὶ πολλοῖς ἀκοντίοις τὰ στέρνα βληθείς, ἤδη δὲ καὶ
and with-many javelins in-the chest struck already and also
πελέκει τὴν κεφαλὴν κεχαραγμένος, μόλις δυσθανατῶν
with-(an)-axe the head gashed scarcely dying-hard
ἔπεσε πρηνὴς ἐπὶ τῆς ἀσπίδος. ἐπ' αὐτῷ δὲ καὶ οἱ
he-fell headlong on the shield over him and also the
ἄλλοι χύδην ἐκτείνοντο ἅπαντες, ὅσοι δὴ ἐτύγχανον
others in-heaps were-killed all as-many-as indeed happened
ἀμφ' αὐτὸν μεμενηκότες, τυχὸν μὲν ἐθελονταί, τυχὸν δὲ
about him having-remained perhaps indeed willing perhaps and

καὶ ὑπὸ τῶν πολεμίων εἰργόμενοι. Φούλκαρις μὲν οὖν
also by the enemies hemmed-in Fulcaris indeed then
στρατηγὸς αἱρεθείς, οὐ λίαν ἀπώνατο τῆς τιμῆς, ἀλλὰ
general chosen not very enjoyed the honor but
βραχύ τι εὐημερήσας, ὥσπερ ἐν ὀνείρατος εὐφροσύνῃ,
briefly something having-prospered as in of-a-dream joy
ταχεῖαν ἔσχε καταστροφὴν τῆς τε ἀρχῆς καὶ τοῦ βίου.
swift had (an)-overthrow of-the both command and of-the life
τούτου δὲ τοῦ πάθους γεγενημένου, τὰ μὲν τῶν Φράγγων
this and the disaster having-happened the indeed of-the Franks
φρονήματα ἐπῆρτο ἐπὶ μέγα, καὶ ἐπερρώννυτο. Γότθοι
spirits were-raised to great and were-strengthened Goths
δὲ οἱ Αἰμίλειάν τε καὶ Λιγουρίαν καὶ τὰς ἐχομένας
and the(-ones) Aemilia both and Liguria and the adjoining
χώρας οἰκοῦντες, οἳ δὴ πρότερον ὕπουλον μὲν καὶ οὐκ
lands inhabiting who indeed earlier hollow indeed and not
ἐλευθέραν, εἰρήνην δὲ ὅμως καὶ ὁμαιχμίαν, τῷ δεδιότι
free peace and nevertheless and alliance by-the fearful
μᾶλλον τῆς γνώμης ἢ τῷ ἡδομένῳ, ἐπεποίηντο, οὗτοι δὲ
rather of-the mind than by-the pleased had-made these and
τότε ἀναθαρσήσαντες, καὶ ἀναφανδὸν παρασπονδήσαντες,
then having-taken-courage and openly having-broken-the-truce
αὐτίκα τοῖς βαρβάροις κατὰ τὸ ὁμοδίαιτον προσεχώρουν.
at-once to-the barbarians by the common-way-of-life went-over
τὰ δὲ τῶν Ῥωμαίων στρατεύματα, ὧν δὴ Ἰωάννης τε
the and of-the Romans armies which indeed John both
ὁ Βιταλιανοῦ, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, καὶ Ἀρταβάνης
the of-Vitalian as-very by-me already was-said and Artabanes
ἡγοῦντο, τοῦ τε Ἐρουλικοῦ ὁμίλου ὁπόσον τῇ φυγῇ
led of-the both Erulian throng as-much-as by-the flight
διεσέσωστο, αὐτίκα ἐς Φαβέντειαν μετανέστησαν τὴν
had-been-saved at-once to Faventia removed the

πόλιν. ᾤοντο γὰρ οἱ στρατηγοί, οὐ πρὸς αὐτῶν
city thought for the generals not to their-advantage
εἶναι ἀμφὶ τὴν Πάρμαν ἔτι ἱδρῦσθαι, τοῦ τε πλήθους
to-be about — Parma still to-be-settled the both multitude
τῶν πολεμίων αὐτοῦ ἀγερθέντος, καὶ ὅτι παραλόγως
of-the enemies there gathered and that unaccountably
εὐημερήσαντες, οὐκ ἔτι ἐχρῶντο τῇ τύχῃ μετρίως. αἵ τε
having-prospered no longer they-used the fortune moderately the both
γὰρ πόλεις τῶν Γότθων αὐτοῖς ἀνεπετάννυντο, καὶ δὴ
for cities of-the Goths to-them were-opened and indeed
φρούρια ἐχυρὰ καταλαβόντες ἐπίδοξοι ἦσαν πανσυδὶ
fortresses strong having-seized expected they-were in-full-force
αὐτοῖς ἐπεισπεσεῖσθαι. ταῦτα ἄρα οἱ στρατηγοὶ ὡς
on-them to-fall-upon these(-things) then the generals as
πλησιέστατα Ῥαβέννης ἱκέσθαι διενοήθησαν, καὶ ταύτῃ
nearest of-Ravenna to-reach resolved and in-this-way
τοὺς πολεμίους ἀλέασθαι, ἐπεὶ μηδὲ ἀξιόμαχοι αὐτοῖς
the enemies to-avoid since not-even a-match for-them
ᾤοντο εἶναι. τούτων δὲ τῷ Ναρσῇ ἀπηγγελμένων,
they-thought to-be these and — to-Narses having-been-reported
ἤσχαλλε μὲν ὅγε καὶ ἐδυσφόρει ἐπὶ τῇ τῶν βαρβάρων
was-vexed indeed he and was-indignant at the of-the barbarians
ἀλαζονείᾳ, καὶ τῷ Φούλκαριν ἀθρόον ἀπολωλέναι, ἄνδρα
boastfulness and at-the Fulcaris all-at-once to-have-perished (a)-man
οὐ τῶν ἀσήμων καὶ λανθανόντων, ἀλλ᾽ ἀνδρειότατον
not of-the obscure and unknown(-ones) but most-brave
ἐν τοῖς μάλιστα καὶ ἀρίδηλον, νίκας τε πολλὰς
in the most and conspicuous victories both many
ἀναδησάμενον, καὶ οἷον οὐ πώποτε ἂν πολεμίοις,
having-crowned-himself-with and such-as not ever — by-enemies
οἶμαι, ἁλῶναι, εἰ μετῆν ἐν μέρει καὶ εὐβουλίας
I-think to-be-taken if there-had-been in share also of-good-counsel

τῇ ῥώμῃ. τούτων μὲν οὖν ἕκατι ὑπερήλγει καὶ
to-the strength these indeed then for-the-sake he-grieved-exceedingly and
ὠλοφύρετο, οὐ μήν, ὥσπερ οἱ πολλοί, κατεπέπληκτό
lamented not however as the many was-dismayed
γε καὶ ἐδεδίει, ἀλλὰ καὶ τὸ ἀμφ᾽ αὐτὸν στράτευμα,
at-least and feared but also the about him army
ἐπειδὴ αὐτοὺς ἑώρα τῷ παραδόξῳ κατεπτηχότας, ἔγνω
when them he-saw by-the strange cowering resolved
παραίνεσιν αὐτοῖς ἐν κοινῷ ποιήσασθαι, ὡς ἂν πρὸς
(an)-exhortation to-them in common to-make so-that — to
εὐψυχίαν αὐτοὺς ἀνακαλέσοιτο, καὶ τὸ δεδιὸς ἐκθεραπεύσοι.
courage them he-might-recall and the fear might-cure
Ἦν γὰρ ὁ Ναρσῆς ἔμφρων ἐς τὰ μάλιστα καὶ δραστήριος, 16
was for — Narses sensible in the most and energetic
καὶ δεινὸς ἁρμόσασθαι τῷ παρεμπίπτοντι, καὶ
and clever to-fit-himself to-the(-thing) befalling and
παιδείας μὲν αὐτῷ οὔ τι μάλα μετῆν, οὐδὲ τὰ
of-learning indeed to-him not at-all very there-was-a-share nor the(-things)
τῆς εὐγλωττίας ἐπεφρόντιστο, φύσεως δὲ ὅγε δεξιότητι
of-the eloquence had-been-cared-for of-nature and he by-dexterity
διέπρεπε, καὶ παραστῆσαι οἷός τε ἦν λόγῳ τὰ
excelled and to-set-forth able — was by-word the(-things)
βεβουλευμένα· καὶ ταῦτα τομίας γε ὤν, καὶ ἐν τοῖς
planned and these(-things) (a)-eunuch at-least being and in the
βασιλείοις τρυφερώτερον ἀνατεθραμμένος. ἦν δὲ ἄρα καὶ
palace rather-luxuriously having-been-raised was and then also
τὸ σῶμα βραχύς, καὶ ἐς ἰσχνότητα ἐκδεδιητημένος. τὸ δὲ
in-the body short and to leanness having-been-brought the and
ἀνδρεῖον καὶ μεγαλουργὸν ἐς τοσοῦτον ἐκέκτητο, ἐς ὅσον
manly and magnificent to so-much he-had-acquired as much-as
ἀμέλει καὶ ἀπιστεῖσθαι. οὕτως ἄρα ὅτῳ ἂν ἐν τῇ ψυχῇ
certainly even to-be-disbelieved thus then in-whom — in the soul

φρόνημα ἐλευθέριόν τε καὶ γενναῖον ἐνῆ, τούτῳ δὲ
(a)-spirit liberal both and noble be-present for-this and
οὐδὲν ὁτιοῦν κώλυμα γίγνεται, μὴ οὐχὶ εἶναι ἀρίστῳ. τότε
nothing whatever (a)-hindrance becomes not not to-be best then
δὴ οὖν ὁ Ναρσῆς παρελθὼν ἐς μέσον τῆς στρατιᾶς,
indeed then — Narses having-come into (the)-middle of-the army
ἔλεξε τοιάδε· "Τοῖς μὲν εἰθισμένοις ἑκάστοτε τῶν
said such(-things) for-the(-ones) indeed accustomed every-time the
πολεμίων κρατεῖν, καὶ διὰ παντὸς αἰσίων πειρᾶσθαι τῶν
enemies to-overcome and through all auspicious to-experience of-the
ἔργων, τούτοις εἴ γέ τι καὶ πρὸς βραχὺ μὴ καθόσον
deeds for-these if at-least anything even for short not as-far-as
οἴονται χρῆναι συμπέσοι, παραιρεῖται τὸ χαῖρον εὐθύς,
they-think to-be-needful should-happen takes-away the joy at-once
καὶ τὰς ἐλπίδας ἀμβλύνει. ἐγὼ δὲ προσήκειν οἶμαι τοῖς
and the hopes blunts I and to-be-fitting I-think for-the
ἔμφροσιν ἐν ταῖς εὐπραγίαις τῇ τύχῃ μὴ συνεξαίρεσθαι,
sensible in the successes with-the fortune not to-be-lifted-up
ἀλλ' ὡς ῥᾴδιον ὂν μεταβολὴν γίνεσθαι τῶν παρόντων,
but as easy being (a)-change to-happen of-the present(-things)
οὕτως ἀεὶ παρεσκευάσθαι τὰς γνώμας. τοῖς γὰρ ὧδέ
so always to-have-been-prepared the minds for-the(-ones) for thus
πως ἔχουσιν τρόπου, ἥδιστον μὲν εὐτυχία φανεῖται, οὐ
somehow being in-manner most-sweet indeed good-fortune will-appear not
σφόδρα δὲ λυπηρὸν εἴπου καὶ παρὰ γνώμην σφαλεῖεν.
very and grievous if-somewhere even contrary-to expectation they-should-fail
ὁρῶ τοίνυν ὑμᾶς, ὦ ἄνδρες, πλέον ἢ κατὰ τὸ
I-see therefore you O men more than according-to the(-thing)
συμβὰν ἀνιωμένους, καὶ δῆλον ὡς οὐχ ἑτέρωθεν τοῦτο
having-happened grieving and (it-is)-clear that not from-elsewhere this
πεπόνθατε, ἢ μόνον τῷ πέρα τοῦ μετρίου μεγαλαυχεῖν
you-have-suffered than only by-the beyond the measure to-boast

τῇ τοῦ νικᾶν συνηθείᾳ, καὶ μηδέποτε διαμαρτεῖν
by-the of-the to-conquer habit and never to-fail
δυνηθῆναι οἰηθῆναι, ὥστε, εἰ τήνδε τὴν δόξαν ἀφέντες
to-be-able to-have-thought so-that if this the opinion having-let-go
μόνον καθ' ἑαυτὸ σκοπήσοιτε τὸ πραχθέν, οὐκ ἂν
alone by itself you-should-consider the(-thing) done not —
ὑμῖν ὀφθείη τηλικοῦτο δεινόν, ὁπόσον ἄλλως ἡγεῖσθε.
to-you would-be-seen so-great terrible as-much-as otherwise you-think
εἰ γὰρ καὶ Φούλκαρις ὁ στρατηγός, ἅτε δὴ βάρβαρος,
if for even Fulcaris the general as indeed (a)-barbarian
καὶ τὸ προπετὲς ἐπιχωριάζων πρὸς τοσαῦτα πολεμίων
and the rashness being-native against so-great of-enemies
πλήθη σὺν ἀκοσμίᾳ διακινδυνεύσας, μετέσχεν ἐκείνων
multitudes with disorder having-run-the-risk shared those(-things)
εἰκότως ὧνπερ ἀκόλουθον ἦν· ἀλλ' ὑμῖν, ὦ ἄνδρες,
fittingly of-which-very consequent was but for-you O men
οὐδ' ὡς ἀποκνητέον τὰ νῦν, οὐδὲ τὰ προεγνωσμένα
not-even so one-must-shrink the now nor the(-things) foreknown
μεταθετέον. αἰσχρὸν γάρ, εἰ Γότθων μὲν οἱ περιόντες,
one-must-change shameful for if of-Goths indeed the survivors
καὶ ταῦτα τοῦ γένους αὐτοῖς διαῤῥύεντος, οἱ δὲ καὶ
and these(-things) the race for-them having-flowed-apart they and also
συμμαχίας ἐπάγονται, καὶ μείζους ἡμῖν ἐγείρουσι πόνους,
alliances bring-in and greater for-us raise toils
καὶ οὐ παντελῶς ἀπειρήκασι πρὸς τὰς τύχας, ἡμεῖς δὲ
and not completely have-given-up against the fortunes we and
νῦν ἡττῆσθαι μόνον ὑποτοπήσαντες τῷ μὴ σφόδρα
now to-have-been-defeated only having-suspected by-the not very
νενικηκέναι, καταπροήσομεν τῶν προϋπαρξάντων
to-have-conquered we-will-abandon of-the(-things) existing-before
τὴν εὔκλειαν, ἀποβαλόντες τὴν προθυμίαν. καίτοι χαίρειν
the good-fame having-cast-off the zeal and-yet to-rejoice

ἡμῖν μᾶλλον προσήκει ἐπὶ τῷ γεγενημένῳ. ἐν τούτῳ
for-us rather it-is-fitting at the(-thing) having-happened in this
γὰρ οἶμαι τὸ ὑπερβάλλον τῆς εὐτυχίας κεκόλασται,
for I-think the excess of-the good-fortune has-been-chastised
καὶ τὸ λίαν διαφθονεῖσθαι πεφεύγαμεν, καὶ τολοιπὸν
and the very to-be-envied we-have-escaped and the-rest
θαῤῥεῖν ἡμῖν πάρεστι τοὺς ἀγῶνας, ὡς ἐνθένδε πάλιν
to-take-courage for-us is-possible-for the contests as from-here again
νικᾷν ἀρχομένοις. εἰ γὰρ καὶ πλήθει σεμνύνεται τὸ
to-conquer beginning if for even in-number prides-itself the
πολέμιον, ἀλλ᾽ εὐκοσμίᾳ γε κατὰ τὸ μᾶλλον αὐτῶν, ἢν
enemy but in-good-order at-least by the more than-them if
σωφρονῶμεν, περιεσόμεθα, μαχούμεθά τε πρὸς ἄνδρας
we-be-prudent we-will-prevail we-will-fight both against men
ἐπήλυδας, καὶ τῶν ἐπιτηδείων, ὥσπερ εἰκός, ἀποροῦντας,
immigrant and of-the provisions as likely lacking
εὖ τούτων ἡμεῖς ἔχοντες· φρούρια δὲ πολλὰ καὶ πόλεις
well these we having fortresses and many and cities
ἀσφάλειαν ἡμῖν, εἴπου δεήσει, παρέξουσι, τοῖς δὲ
safety to-us if-somewhere it-will-be-needful will-provide for-them and
ταῦτα οὐκ ἔσται. συναγωνιεῖται δὲ καὶ τὸ κρεῖττον
these(-things) not will-be will-fight-with(-us) and also the stronger(-power)
ἡμῖν, ὡς σφόδρα δικαίως ὑπὲρ τῶν οἰκείων ἀμυνομένοις.
for-us as very justly for the own defending
οἱ δὲ τὴν ἑτέρων δηοῦσιν. οὕτω πανταχόθεν ἡμῖν τὸ μὴ
they and the of-others ravage so from-every-side for-us the not
λίαν εὐέλπιδας εἶναι παράλογον, μή τί γε δεδιέναι.
very hopeful to-be unaccountable not at-all indeed to-fear
οὐκοῦν Λουκανοῖς τε τούτοις μηδαμῶς ἐφῶμεν ἀναπνεῦσαι
therefore Lucans both these by-no-means let-us-allow to-take-breath

τῆς πολιορκίας, καὶ πρὸς τὸν ὅλον πόλεμον ἅπας τις
from-the siege and for the whole war every one
ὑμῶν ἐμμελέστατα τῇ προθυμίᾳ παρεσκευάσθω."
of-you most-fittingly with-the zeal let-be-prepared

IV · LUCA TAKEN AND THE WINTER

Narses sends Stephen to rebuke the generals at Faventia; they plead the lack of food around Parma and their unpaid wages, and Stephen brings the prefect from Ravenna. Luca surrenders, and Narses leaves Bonus there and goes on. Aligern, seeing that the Franks mean to take Italy for themselves, gives up Cumae and its treasure to Narses. The armies disperse to winter quarters, and the Eruli quarrel over a new leader. Near Ariminum Narses draws the Frankish raiders out with a feigned flight, a Hunnic stratagem, and routs them.

Τοιαῦτα ὁ Ναρσῆς εἰπών, ἐθάρσυνέ τε αὐτίκα τὸ 17
such(-things) — Narses having-said heartened both at-once the
στράτευμα, καὶ μᾶλλον ἀκριβῆ τὴν πολιορκίαν πρὸς
army and more exact the siege against
τοὺς Λουκανοὺς ἐποιεῖτο. ἐχαλέπαινε δὲ τοῖς ἄλλοις
the Lucans made was-angry and with-the other
στρατηγοῖς, ἀνθ' ὧν τὰ ἐπίκαιρα χωρία καταλιπόντες, οἱ
generals for which the opportune places having-abandoned they
δὲ ἐς Φαβέντειαν ἐτύγχανον ἀφιγμένοι, καὶ ἐς τοὐναντίον
and to Faventia happened having-come and to the-contrary
αὐτῷ τὰ τῆς προμηθείας ἐχώρει. ὁ μὲν γὰρ ἀμφὶ
for-him the(-plans) of-the forethought went he indeed for about
Πάρμαν τὴν πόλιν ὥσπερ ἐν προβόλου καὶ ἐρύματος
Parma the city as in of-(a)-bulwark and of-(a)-rampart
μοίρᾳ τετάχθαι τὰ ξὺν ἐκείνοις στρατεύματα χρῆναι
part to-be-stationed the with them armies to-be-needful

ἡγεῖτο, ὅπως οἱ μὲν κώλυμα εἶεν τοῖς ἐναντίοις
thought so-that they indeed (a)-hindrance might-be to-the opponents
ἐς τὰ πρόσω ἰέναι, αὐτὸς δὲ κατὰ σχολὴν εὖ μάλα
to the forward to-go he-himself and at leisure well very
τὰ ἐς Τουσκίαν ἅπαντα καταστησάμενος, εἶτα ἐπ᾽
the(-things) in Tuscany all having-settled then against
αὐτοὺς διαβαίη. νῦν δὲ ἐκείνων πόῤῥω μεταναστάντων,
them might-cross now and those far having-removed
ξυνέβαινε τοὺς ἀμφὶ τὸν Ναρσῆν προτέρους ἐκκεῖσθαι
it-befell the(-men) about — Narses first to-be-exposed
τοῖς πολεμίοις· οὔκουν ἀνεκτὸν τοῦτο ἡγούμενος, ἔστελλεν
to-the enemies not bearable this thinking he-sent
αὐτίκα ὡς τοὺς στρατηγοὺς ἄνδρα τῶν οἱ ἐς
at-once to the generals (a)-man of-the to-him in
τὰ μάλιστα ἐπιτηδείων, ᾧ δὴ Στέφανος μὲν
the most intimates to-whom indeed Stephen indeed
ὄνομα ἦν, πατρὶς δὲ πόλισμα Ἰλλυρικὸν ἡ Ἐπίδαμνος,
(a)-name was fatherland and (a)-town Illyrian — Epidamnus
ἐπικερτομήσοντά γε αὐτοὺς τῆς δειλίας, καὶ διελέγξοντα
going-to-taunt at-least them for-the cowardice and going-to-prove
ὡς πεφώρανται τὰ κοινὰ καταπροέμενοι, εἰ μὴ αὖθις
that they-have-been-caught the common(-good) having-abandoned if not again
ἐς τὰ πρότερα ἐπανήξοιεν. Στέφανος μὲν οὖν ἄνδρας
to the former(-positions) they-should-return Stephen indeed then men
ἐς διακοσίους ἱππότας μαχιμωτάτους καὶ τῇ ὁπλίσει
to two-hundred horsemen most-warlike and in-the equipment
ἄριστα ἐσκευασμένους ἐπαγόμενος, ὡς τάχιστα ἦει, μόχθῳ
best arrayed bringing as quickest went with-toil
δὲ ξὺν πολλῷ καὶ ἀγρυπνίᾳ τὴν πορείαν ἐποιοῦντο.
and with much and sleeplessness the march they-made
ἀπόμοιρα γὰρ τῶν Φράγγων ἀνὰ τὰ τῇδε πεδία ἐφοίτων,
(a)-detachment for of-the Franks over the there plains roamed

χιλοῦ τε ἕνεκα καὶ τῆς λείας, ἣν ἐκ τῶν ἀγρῶν
of-fodder both for-the-sake and of-the booty which from the fields
ἀφῃροῦντο. νύκτωρ τοιγαροῦν οἱ Ῥωμαῖοι τὰ πλεῖστα
they-took-away by-night therefore the Romans the most(-part)
ἐχώρουν, ξυνεστραμμένοι τε ἐπὶ σφᾶς καὶ ἀλλήλους
went massed-together both on themselves and one-another
ὀπισθοφυλακοῦντες, ὡς, εἰ δεήσοι, καὶ διαμάχεσθαι
guarding-the-rear so-that if it-should-be-needful even to-fight-it-out
οὐκ ἀπαράσκευοι φανησόμενοι. οἰμωγαὶ δὲ ἠκούοντο
not unprepared going-to-appear lamentations and were-heard
τῶν ἀγροίκων, καὶ μυκήματα βοῶν ἀπελαυνομένων, καὶ
of-the rustics and lowings of-oxen being-driven-off and
πάταγοι τῆς ὕλης διατεμνομένης. καὶ τοῖς τοιούτοις δεινοῖς
crashes of-the wood being-cut-down and by-the such terrors
πανταχόθεν παραβομβούμενοι, μόλις ἐς Φαβέντειάν τε καὶ
from-every-side buzzed-around scarcely to Faventia both and
τὸ στρατόπεδον ἵκοντο. τότε δὴ οὖν ἐς ὄψιν ἐλθὼν
the camp they-came then indeed then into sight having-come
τοῖς στρατηγοῖς, "τί δὴ ταῦτα," ἔφη ὁ Στέφανος, "ὦ
to-the generals what indeed these(-things) said — Stephen O
γενναῖοι, πεπόνθατε; ποῦ δὲ τῶν προτέρων ἔργων ἡ
noble-ones have-you-suffered where and of-the former deeds the
εὔκλεια καὶ ἡ τῶν τοσούτων τροπαίων ὁμολογία; πῶς
good-fame and the of-the so-many trophies agreement how
δὲ ἂν Ναρσῆς Λουκανούς τε ἕλοι, καὶ τὰ ἐντὸς
and — Narses Lucans both might-take and the(-places) within
Ἄλπεων ἅπαντα παραστήσοιτο, ὑμῶν γε μονονουχὶ
(the)-Alps all might-win-over you at-least all-but
ὥσπερ ἐν ξυνθήκαις διόδου τοῖς πολεμίοις παρασχομένων,
as in terms passage to-the enemies having-given
καὶ ἐφέντων αὐτοῖς, οἳ βούλοιντο κατ' ἐξουσίαν ἰέναι;
and having-allowed them where they-might-wish at will to-go

καὶ ἐγὼ μὲν οὐδέν τι φλαῦρον εἴποιμι ἐς ὑμᾶς,
and I indeed nothing at-all mean might-say against you
ἄλλος δέ τις ἴσως ἐρεῖ μαλακίαν εἶναι τὸ χρῆμα,
other and some-one perhaps will-say weakness to-be the thing
καὶ τῶν κοινῇ συνοισόντων ὀλιγωρίαν. εἰ μὴ γὰρ
and of-the(-things) in-common going-to-benefit neglect if not for
φθάσοιτε θᾶττον ἐς Πάρμαν ἐπανελθόντες, Ναρσῆς
you-should-anticipate quickly to Parma having-returned Narses
μὲν οὔποτε ἀνήσει χαλεπαίνων, καὶ καταιτιώμενος ὑμᾶς
indeed never will-cease being-angry and accusing you
τῶν ἐσομένων, εἴ γέ τι ἀντίπαλον ξυνενεχθείη.
of-the(-things) going-to-be if at-least anything adverse should-happen
σκοπεῖτε δέ, ὦ λῷστοι, ὅπως μὴ καὶ βασιλεὺς νεμεσήσῃ."
consider and O best-ones that not also (the)-emperor be-indignant
18 Ταῦτ' ἀκούσαντες οἱ στρατηγοὶ καὶ Ναρσοῦ εἶναι
these(-things) having-heard the generals and of-Narses to-be
ἐγνωκότες, ὡς μὲν οὐ δίκαια σφίσιν ἐπικαλοίη,
having-recognized(-them) that indeed not just(-things) against-them he-charged
λέγειν οὐκ εἶχον. σκήψεις δέ τινας προΐσχοντο καὶ
to-say not were-able pretexts and some put-forward and
αἰτίας, ὡς ἄρα πρὸς ἀνάγκης μετανασταῖεν, ἅτε οὐκ
reasons that then from necessity they-had-moved as not
ἐνὸν ἐν τοῖς περὶ Πάρμαν χωρίοις τῶν ἐδωδίμων
being-possible in the about Parma places of-the food
τοῖς στρατιώταις ἐς τὸ ἀποχρῶν μεταλαγχάνειν· μηδὲ
for-the soldiers to the sufficient to-share not-even
γὰρ παρεῖναι Ἀντίοχον ἐνταῦθα τὸν ὕπαρχον, ᾧ τὰ
for to-be-present Antiochus there the prefect to-whom the
τοιάδε ἀνεῖται. οὐ μέντοι ἀλλ' οὐδὲ τὸ χρυσίον τὸ
such(-things) are-entrusted not however but not-even the gold the
εἰωθὸς αὐτοῖς διανενεμῆσθαι. Στέφανος δὴ οὖν ὡς
customary to-them to-have-been-distributed Stephen indeed then as

τάχιστα ἐν Ῥαβέννῃ ἀφικόμενος, τόν τε ὕπαρχον ἐνθένδε
quickest in Ravenna having-arrived the both prefect from-there
ὡς τοὺς στρατηγοὺς ἤγαγε, καὶ τὰ ἀμφίβολα ὡς οἷόν τε
to the generals brought and the doubtful(-things) as able —
ἦν ἀκεσάμενος, ἔπεισεν ἅπαντα αὐτίκα παλινδρομῆσαι,
it-was having-cured persuaded all at-once to-run-back
καὶ αὖθις πρὸς τὴν Πάρμαν στρατοπεδεύσασθαι. ἐπεὶ δὲ
and again at — Parma to-encamp when and
ταῦτα διαπραξάμενος ἐς Λοῦκαν ἐπανῆκε, θαρσεῖν
these(-things) having-accomplished to Luca he-returned to-take-courage
τε ἔφασκε τῷ Ναρσῇ, καὶ σὺν προμηθείᾳ ἔχεσθαι
both he-said — to-Narses and with forethought to-hold-to
τῶν πραγμάτων. μηδὲ γὰρ παρενοχλήσειν αὐτῷ
the affairs not-even for to-trouble him
τοὺς πολεμίους, ἀλλ' εἴργεσθαι τὰς ἐκείνων ὁρμάς, τῶν
the enemies but to-be-checked the their onsets the
Ῥωμαϊκῶν αὐτοῖς ταγμάτων ἐν δέοντι αὖθις ἐφεδρευόντων.
Roman them units in need again lying-in-wait
Ναρσῆς δὴ οὖν τολοιπὸν οὐκ ἀνεκτὸν εἶναι ἡγούμενος,
Narses indeed then the-rest not bearable to-be thinking
εἰ μέλλοιεν οἱ Λουκανοὶ ἐπιπλεῖστον ἀντέχειν, οὕτω
if should-be-going the Lucans for-most to-hold-out thus
πως ἀνειμένα πολιορκούμενοι, ἐπέλαζε τοῖς τείχεσιν
somehow slackly being-besieged approached the walls
ἀφειδῶς· καὶ αὐτίκα αἵ τε ἑλεπόλεις μηχαναὶ προσήγοντο,
unsparingly and at-once the both city-taking engines were-brought-up
καὶ ἀνὰ τὰς τύρσεις πυρφόρα ἐῤῥίπτοντο βέλη. οἵ
and onto the towers fire-bearing were-thrown missiles the(-ones)
τε ἐς τὰ μεταπύργια φαινόμενοι, ἐβάλλοντο λίθοις
both on the curtains appearing were-struck with-stones
τε καὶ τοξεύμασιν· καὶ διετέμνετό ἐστιν οὗ ἡ τοῦ
both and with-arrows and was-cut-through there-are where the of-the

περιβόλου οἰκοδομία, καὶ ἅπασα ἰδέα κακοῦ περιεστήκει
circuit-wall building and every kind of-evil surrounded
τὴν πόλιν. οἱ μὲν οὖν πρότερον ὁμηρεύσαντες
the city the indeed then earlier having-served-as-hostages
τότε δὴ πλέον ἔπρασσον ἐς τοὺς Ῥωμαίους. καὶ
then indeed more acted for the Romans and
τόγε ἐπ' ἐκείνοις, τάχιστα ἂν ἅπασα ἡ πόλις
the(-part)-at-least as-to them quickest — all the city
ὑπεκλίθη· νῦν δὲ οἱ τῶν Φράγγων ἁρμοσταί, οἳ δὴ
would-have-yielded now and the of-the Franks governors who indeed
ἐτύγχανον ἔνδον ἐπὶ φρουρᾷ τοῦ ἄστεος ἐγκαταστάντες,
happened inside for (the)-guard of-the town established
ἐνέκειντο παροτρύνοντες πολεμεῖν, καὶ τοῖς ὅπλοις
pressed urging to-make-war and with-the arms
διωθεῖσθαι τὴν πολιορκίαν. αὐτίκα δὴ οὖν αἵ τε πύλαι
to-thrust-off the siege at-once indeed then the both gates
ἀνεπετάννυντο, καὶ ἐπεκδρομὰς ἐξαπιναίους ἐς τοὺς
were-opened and sallies sudden against the
Ῥωμαίους ἐποιοῦντο, ταύτῃ οἰόμενοι περιέσεσθαι. ἀλλ'
Romans they-made in-this-way thinking to-prevail but
ἔμελλον οἵ γε δρᾷν μὲν ἐλάχιστα τοὺς πολεμίους,
were-going they at-least to-do indeed least the enemies
μεγάλα δὲ ἡλίκα πημαίνεσθαι. οἱ γὰρ δὴ πλεῖστοι
great and how-great to-be-harmed the for indeed most
τῶν Λουκανῶν ἤδη ἀναπεπεισμένοι ὑπὸ τῶν ἔνδον
of-the Lucans already persuaded by the(-ones) inside
πρασσόντων, ἐθελοκακοῦντες ἐμάχοντο. ἐπεὶ δὲ αὐτοῖς,
intriguing shirking fought when and to-them
θαμὰ πειρωμένοις, οὐδὲν τῶν ἐλπισθέντων προὐχώρει,
often trying nothing of-the(-things) hoped went-forward
ἀλλά, πολλοὺς τῶν σφετέρων ἀποβάλλοντες, αἰσχράς τε
but many of-the their-own losing shameful both

καὶ ἀγεννεῖς ἀναχωρήσεις ἐποιοῦντο, αὖθίς τε εἴσω τοῦ
and ignoble withdrawals they-made again both within the
περιβόλου γενόμενοι ἀκριβέστερον ἐγκατείργοντο, ὡς
circuit-wall having-come more-strictly were-shut-in so-that
μηκέτι αὐτοῖς εἶναι ἐξιτητέα· τότε δὴ ἅπαντες ὡς οὐχ
no-longer for-them to-be one-must-go-out then indeed all as not
οἷόν τε ὂν αὐτοῖς ἄλλως σφᾶς αὐτοὺς διασώσασθαι,
able — being for-them otherwise them selves to-save
μετεβάλλοντο πρὸς ἀνάγκης ἐς τὸ εἰρηναῖον τὰς γνώμας,
changed from necessity to the peaceful the minds
καὶ τὸ παρὸν εὖ διαθεῖναι ἠβούλοντο. καὶ οὖν αὐτίκα
and the present well to-settle wished and then at-once
τὰ πιστὰ κομισάμενοι πρὸς Ναρσοῦ, ὡς οὐδὲν αὐτοῖς
the pledges having-received from Narses that nothing to-them
τῶν προγεγενημένων ἕνεκα ὀργιεῖται, τήν τε
of-the(-things) happened-before for-the-sake he-will-be-angry the both
πόλιν παρέδοσαν, καὶ εἰσεδέχοντο ἄσμενοι τὸν στρατόν,
city surrendered and received gladly the army
τριῶν ἤδη μηνῶν ἐν τῇ πολιορκίᾳ τριβέντων, καὶ
three already months in the siege having-been-spent and
ἦσαν αὖθις βασιλέως τοῦ Ῥωμαίων κατήκοοι.
they-were again of-(the)-emperor the of-Romans subjects
Ναρσῆς δέ, ἐπεὶ ἐξεπολιόρκητό οἱ ἡ Λοῦκα, καὶ οὐδὲν 19
Narses and when had-been-taken-by-siege by-him — Luca and nothing
ἔτι ἀντίπαλον ἦν, ἀποδιατρίψαι μὲν ἐν αὐτῇ οὔ τι
still opposed was to-linger indeed in it not at-all
μάλα ᾤετο χρῆναι, οὐδ' ὅσον ἀναπνεῦσαι τῶν
very he-thought to-be-needful not-even as-much-as to-take-breath from-the
πόνων· καταλιπὼν δὲ αὐτοῦ Βόνον τὸν στρατηγὸν τὸν
toils having-left and there Bonus the general the
ἐκ Μυσίας τῆς πρὸς τῷ Ἴστρῳ ποταμῷ παρατεταμένης,
from Moesia the along the Ister river extended

ἄνδρα συνέσεώς τε ἐς ἄκρον ἥκοντα, καὶ λίαν ἀγαθὸν
(a)-man of-understanding both to (the)-height having-come and very good
τά τε πολιτικὰ καὶ πολέμια, δύναμίν τε αὐτῷ
(at)-the(-things) both political and of-war (a)-force both to-him
παραδοὺς ἀξιόχρεων, καὶ ὅσῃ ῥᾳδίως ἤμελλεν, εἰ
having-handed-over sufficient and by-which easily he-was-going if
καί τι νεωτερίσοιεν οἱ τῇδε βάρβαροι, περιέσεσθαι
even anything should-revolt the there barbarians to-prevail
καὶ καθέξειν· ταῦτα δὴ οὖν οὕτω καταστησάμενος,
and to-hold these(-things) indeed then thus having-arranged
ἠπείγετο ἰθὺ τῆς Ῥαβέννης ἰέναι, ἐφ' ᾧ τὰ ἐνταῦθα
he-hastened straight — of-Ravenna to-go on which the there
στρατεύματα ἐς τὸ διαχειμάζειν μεθήσει· ἐπειδὴ γὰρ
armies to the to-winter he-will-release when for
τὸ μετόπωρον ἤδη ἐτελεύτα, καὶ ἀμφὶ τὰς χειμερίους
the autumn already was-ending and about the winter
τροπὰς ταῦτα ἐπράσσετο, πολεμητέα μὲν οὔ οἱ
solstice these(-things) were-being-done one-must-make-war indeed not for-him
ἐς ἐκεῖνο τοῦ καιροῦ εἶναι ἐδόκει. ἦ γὰρ ἂν τοῦτο ὑπὲρ
at that of-the time to-be it-seemed truly for — this for
τῶν Φράγγων ἔμελλεν ἔσεσθαι, οἷς γε πολέμιον μὲν
the Franks was-going to-be for-whom at-least hostile indeed
τὸ πνῖγος, καὶ πλείστην ἐντίθησι δυσθυμίαν, καὶ οὐκ ἄν
the stifling-heat and most puts-in despondency and not —
ποτε θέρους ἑκόντες εἶναι διαμαχέσαιντο, σφριγῶσι
ever in-summer willing to-be would-fight-it-out they-swell-with-vigor
δὲ ὑπὸ τοῦ κρύους ἀεί, καὶ ῥωμαλεώτατοι γίγνονται,
and under the cold always and most-robust become
καὶ ἥδιστα τότε διαπονοῦνται. ἔχουσι γὰρ πρὸς τοῦτο
and most-gladly then toil they-have for toward this
οἰκείως, τῷ δυσχείμερον πατρίδα κεκτῆσθαι, καὶ οἷον
naturally by-the (a)-wintry fatherland to-have-acquired and as-it-were

ξυγγενὲς αὐτοῖς εἶναι τὸ ψύχεσθαι. τούτων δὴ οὖν
akin to-them to-be the to-be-cold these indeed then
ἕκατι διαμέλλειν ἐπειρᾶτο, καὶ ἐς νέωτα τὸν πόλεμον
for-the-sake to-delay he-tried and to next-year the war
μεταθέσθαι. καὶ οὖν διασκεδάσας τὸ στράτευμα κατὰ
to-put-off and then having-scattered the army by
λοχαγοὺς καὶ ταξιάρχους ἀνὰ τὰ ἐχόμενα πολίσματά τε
captains and taxiarchs over the adjoining towns both
καὶ φρούρια διαχειμάζειν ἐκέλευσεν, ἅμα δὲ ἦρι ἀρχομένῳ
and fortresses to-winter ordered with and spring beginning
ἥκειν ἐς Ῥώμην ἅπαντας καὶ ἀγείρεσθαι, ὡς ἐνθένδε
to-come to Rome all and to-gather as from-there
πανσυδὶ παραταξαμένους. καὶ οἱ μὲν κατὰ ταῦτα
in-full-force arrayed and they indeed according-to these(-orders)
ἐχώρουν· Ναρσῆς δὲ ἐπὶ Ῥάβενναν ἰών, μόνους ἐπήγετο
went Narses and to Ravenna going alone brought
τοὺς ἀμφ᾽ αὐτὸν θεραπευτάς τε καὶ δορυφόρους, καὶ
the about him attendants both and guards and
ὅσοι τῆς ἀρχῆς αὐτῷ ὑπηρέται ἐτύγχανον ὄντες, οἷς
as-many-as of-the office to-him servants happened being to-whom
δὴ τὰ ἀρχεῖα ἐπεφρόντιστο τῆς τε ἄλλης εὐκοσμίας
indeed the offices had-been-entrusted of-the both other good-order
πέρι, καὶ ὅπως μὴ χύδην ἅπασι τοῖς βουλομένοις ὡς
about and so-that not promiscuously for-all the(-ones) wishing to
αὐτὸν εἰσιτητέα εἴη. τούτους δὲ ἔθος Ῥωμαίοις ἐκ
him one-must-enter might-be these and (a)-custom for-Romans from
τῶν κιγκλίδων ἐπονομάζειν, καὶ τῆς ἐν τούτοις ἐπιμελείας.
the lattices to-name and of-the in these care
εἵπετο δέ οἱ καὶ Ζανδαλᾶς ὁ τῶν οἰκοτρίβων ὀπαδῶν
followed and him also Zandalas the of-the household attendants
πρωτοστάτης, καὶ ὅσον ἄλλο οἰκετικὸν καὶ ὅσοι
chief and as-much-as other domestic and as-many-as

τομίαι κατευναστῆρες. ἄγων δὴ οὖν τοὺς ξύμπαντας
eunuchs chamberlains bringing indeed then the all
ἄνδρας ἐς τετρακοσίους, ἐπὶ Ῥάβενναν ᾔει.
men to four-hundred to Ravenna went
Ἐν τούτῳ δὲ Ἀλίγερνος ὁ Φρεδιγέρνου μὲν παῖς, ἀδελφὸς
in this and Aligern the of-Fredigern indeed son brother
δὲ Τεΐα γεγενημένος, οὗ δὴ καὶ πρότερον ἐπεμνήσθην
and of-Teias having-been of-whom indeed also earlier I-made-mention
ἐν τῇ τῆς Κύμης πολιορκίᾳ· οὗτος δὴ ὁ Ἀλίγερνος,
in the — of-Cumae siege this indeed — Aligern
ἐπειδὴ οἱ Φράγγοι ἐς τὴν Ἰταλίαν παρῆσαν, καὶ ἐς αὐτοὺς
when the Franks into — Italy were-present and to them
ἤδη τὰ τῶν Γότθων πράγματα μετεχώρει, μόνος γε
already the of-the Goths affairs were-passing alone at-least
πέφηνεν τότε συνεὶς τὸ ξυνοῖσον, καὶ στοχαζόμενος
appeared then understanding the advantageous and guessing
τῶν μελλόντων. βουλευομένῳ γὰρ αὐτῷ περὶ τῶν
the future planning for to-him about the
παρόντων, προσῆλθεν ἐννοεῖν ὡς ἄρ᾽ οἱ Φράγγοι σκῆψιν
present it-occurred to-reflect that then the Franks pretext
μέν τινα καὶ προκάλυμμα εὐπρεπὲς τὸ τῆς ξυμμαχίας
indeed some and screen plausible the of-the alliance
ὄνομα ποιοῦνται, ὡς δὴ μετάκλητοι ἀφιγμένοι, τὸ δὲ
name make as indeed summoned having-come the and
βουλόμενον αὐτῶν τῆς γνώμης ἕτερόν τι φανεῖται·
wish their of-the mind other something will-appear
οὐ γὰρ ἐθελήσουσιν, εἰ καὶ τῶν Ῥωμαίων περιέσοιντο,
not for they-will-be-willing if even the Romans they-should-prevail-over
παραχωρῆσαι τοῖς Γότθοις τῆς Ἰταλίας, ἀλλ᾽ ἔργῳ
to-cede to-the Goths — Italy but in-deed
προτέρους ἐκείνους καταδουλώσονται, οἷς τῷ λόγῳ
first those they-will-enslave whom in-the word

ἥκουσιν ἐπαμυνοῦντες, ἄρχοντάς τε αὐτοῖς ἐπιστήσουσι
they-come going-to-help rulers both over-them they-will-set
Φράγγους, καὶ ἀφαιρήσονται τῶν πατρίων νομίμων
Franks and will-deprive of-the ancestral customs
αὐτούς. ταῦτα δὴ οὖν ἐν ἑαυτῷ θαμὰ λογιζόμενος καὶ
them these(-things) indeed then in himself often reckoning and
ἀνελίττων, ἅμα δὲ καὶ τῇ πολιορκίᾳ πιεζόμενος,
unrolling at-the-same-time and also by-the siege being-pressed
ἄμεινόν οἱ κατεφάνη, τήν τε πόλιν καὶ τὰ χρήματα τῷ
better to-him it-appeared the both city and the money —
Ναρσῇ παραδοῦναι, καὶ τολοιπὸν Ῥωμαϊκῆς μεταλαχεῖν
to-Narses to-hand-over and the-rest of-Roman to-share
πολιτείας, κινδύνων τε ἀπογενέσθαι καὶ βαρβαρικῶν
polity of-dangers both to-be-free and of-barbarian
διαιτημάτων. ὅσιον γὰρ ᾤετο εἶναι, εἰ μὴ τοὺς Γότθους
ways-of-life holy for he-thought to-be if not the Goths
ἔνεστι τὴν Ἰταλίαν κεκτῆσθαι, τοὺς γοῦν ἐκ παλαιοῦ
it-is-possible — Italy to-possess the at-any-rate from old
οἰκήτοράς τε καὶ ἰθαγενεῖς τὸ ἀνέκαθεν ἡγεμόνας αὐτὴν
inhabitants both and natives the from-the-first leaders it
ἀνακομίσασθαι, καὶ μὴ μέχρι παντὸς τῶν σφετέρων
to-recover and not as-far-as all(-time) of-the their-own(-things)
ἀποστερεῖσθαι. ταῦτα δὴ οὖν αὐτός τε ἐπιτελεῖν τὸ
to-be-deprived these(-things) indeed then he-himself both to-accomplish the
μέρος ἐγνώκει, καὶ ἅπασι τοῖς ὁμοφύλοις παράδειγμα
part resolved and to-all the kinsmen (an)-example
εὐβουλίας γενέσθαι. καὶ τοίνυν τοῖς πολιορκοῦσι Ῥωμαίοις
of-good-counsel to-become and therefore to-the besieging Romans
διαγγείλας πρότερον ὡς ἐθέλοι πρὸς τὸν στρατηγὸν ἰέναι,
having-announced first that he-wished to the general to-go
καὶ εἶτα ἐφειμένον αὐτῷ, παραγίγνεται ἐς Κλάσσεις,
and then having-been-permitted to-him comes to Classis

οὗ δὴ τὸν Ναρσῆν διατρίβειν ἐπέπυστο. ἵδρυται δὲ τὸ
where indeed — Narses to-stay he-had-learned is-situated and the
φρούριον ἐν τῇ Ῥαβέννης περιοικίδι. καὶ δὴ ἐς ὄψιν
fortress in the of-Ravenna environs and indeed into sight
αὐτῷ ἀφιγμένος, τάς τε κλεῖς τῆς Κύμης ἐνεχείρισε,
to-him having-come the both keys — of-Cumae handed-over
καὶ ἅπαντα ὑπηρετήσασθαι ὡμολόγει πρὸς εὐνοίας αὐτῷ·
and all to-serve agreed toward goodwill to-him
καὶ ὃς ἀπεδέχετό τε αὐτὸν τῆς προσχωρήσεως, καὶ
and he welcomed both him for-the coming-over and
μείζοσιν ἀγαθοῖς ἐπηγγέλλετο ἀντιδωρεῖσθαι· τότε δὲ
with-greater goods promised to-reward then and
εὐθύς, ἀπόμοιραν μέν τινα τῶν ἀμφὶ τὴν Κύμην
at-once detachment indeed some of-the(-ones) about — Cumae
στρατοπεδευομένων ἐκέλευσεν εἴσω τοῦ περιβόλου γενέσθαι,
encamped ordered within the circuit-wall to-get
αὐτήν τε τὴν πόλιν καὶ τὰ χρήματα παραληψομένους
it both the city and the money going-to-take-over
καὶ ἅπαντα ἐν τῷ ἀσφαλεῖ διαφυλάξοντας.
and all in the safety going-to-guard
τὸ δὲ λοιπὸν στράτευμα ἐν ἑτέροις πολίσμασί τε καὶ
the and remaining army in other towns both and
φρουρίοις ἀναχωρεῖν, ὡς ἂν καὶ οἳ διαχειμάσοιεν. καὶ
fortresses to-withdraw so-that — also they might-winter and
οὕτω ἅπαντα ἐπράττετο. ἐπεὶ δὲ ὁ τῶν Ἐρούλων στρατὸς
thus all was-done when and the of-the Eruli army
οἰκείου αὖθις ἡγεμόνος ἐχήρευε, δύο δὲ ἄνδρ' ἦστην ἐν
of-own again leader was-bereft two and men were among
αὐτοῖς ἐπισήμω τε καὶ ἀμφηρίστω, ἐμερίζοντο ἡ πληθὺς
them notable both and rival were-divided the multitude
ἐφ' ἑκάτερον ταῖς γνώμαις. τὸ μὲν γάρ τι αὐτῶν
to each-side in-the opinions the indeed for some of-them

περὶ πλείστου τὸν Ἀροὺθ ἐποιοῦντο, καὶ ἅπαντα σφίσιν
for most — Aruth held and all for-them
ἄμεινον ᾤοντο ἔσεσθαι εἴ γε ἐκεῖνος ἡγοῖτο· τοὺς δὲ
better thought to-be if at-least he should-lead the(-others) and
ὁ Σινδουὰλ ἤρεσκεν, ἅτε δὴ δραστήριος ἐς τὰ μάλιστα,
— Sindual pleased as indeed energetic in the most
καὶ εὖ τὰ πολέμια ἠσκημένος. οἷς δὴ καὶ
and well in-the(-things) of-war trained with-whom indeed also
Ναρσῆς θέμενος, τοῦτόν γε αὐτοῖς ἐφίστησι στρατηγόν,
Narses having-sided this-man at-least over-them sets (as)-general
καὶ ἔστελλεν καὶ τοὺς ὅπη ἄριστα ἤμελλον διαχειμάζειν.
and sent also them where best they-were-going to-winter
τὸν δὲ Ἀλίγερνον εἰς Κησσίναν τὴν πόλιν ἀπέπεμπεν,
— and Aligern to Caesena the city sent-off
εἰρημένον αὐτῷ, ἐπειδὰν αὐτόσε ἀφίκηται, ἀναβάντα
it-having-been-told to-him when thither he-should-arrive having-gone-up
ἐς τὸ τεῖχος, ὑπερκύπτειν ἀναφανδὸν ὡς ἅπασιν ὅστις
to the wall to-lean-over openly so-that by-all who
εἴη διαγνωσθῆναι. προσέταττε δὲ ταῦτα, ὅπως δὴ οἱ
he-was to-be-recognized he-ordered and these(-things) so-that indeed the
Φράγγοι (ἐνθένδε γὰρ διαβήσεσθαι ἤμελλον,) θεάσαιντό
Franks from-there for to-cross they-were-going might-see
τε αὐτὸν αὐτομολήσαντα, καὶ ἀπαγορεύσαιεν τῇ ἐπὶ τὴν
both him having-deserted and might-renounce the to —
Κύμην πορείᾳ, καὶ τῇ τῶν χρημάτων ἐλπίδι, ἴσως δὲ καὶ
Cumae march and the of-the money hope perhaps and also
παντὶ τῷ πολέμῳ, ὡς ἤδη ἁπάντων προκατειλημμένων·
all the war as already all having-been-seized-beforehand
καὶ ὁ μὲν ἐπειδὴ παριόντας ἑώρα τοὺς Φράγγους,
and he indeed when passing he-saw the Franks
ἐπεκερτόμει τε αὐτοὺς ἐκ τοῦ μετεώρου καὶ ἐπέσκωπτεν
taunted both them from the height and jeered

ὡς μάτην τολοιπὸν ἐπειγομένους, καὶ κατόπιν ἥκοντας
that in-vain the-rest hastening and behind coming
τῶν πραγμάτων, τοῦ τε πλούτου παντὸς ὑπὸ Ῥωμαίων
of-the affairs the both wealth all by Romans
κατεχομένου, καὶ αὐτῶν γε δὴ παρασήμων τῆς
being-held and of-them at-least indeed (the)-insignia of-the
Γοτθικῆς ἡγεμονίας· ὡς εἴ γε καί τις τολοιπὸν βασιλεὺς
Gothic leadership so-that if at-least even any the-rest king
τῶν Γότθων ἀναδειχθείη, μὴ ἔχειν ὅτῳ ἀρίδηλος εἴη
of-the Goths should-be-proclaimed not to-have by-which conspicuous he-might-be
καὶ ἐπίτιμος, ἀλλ᾽ ἀμφιέννυσθαι μόνον στρατιωτικὴν
and honored but to-put-on only (a)-soldier's
ἐφεστρίδα, καὶ ἰδιωτεύειν τῷ σχήματι. οἱ δὲ Φράγγοι
cloak and to-be-a-private-man in-the appearance the and Franks
ἐφύβριζον μὲν ἐς αὐτὸν καὶ ἐλοιδοροῦντο, καὶ προδότην
insulted indeed against him and reviled and (a)-traitor
ἐπεκάλουν τοῦ γένους· καί πως ἀμφίδοξοι ἐγίγνοντο ἐπὶ
called(-him) of-the race and somehow doubtful became at
τοῖς παροῦσιν, ὡς καὶ βουλεύεσθαι εἰ πολεμητέα·
the present(-state) so-as even to-deliberate whether one-must-make-war
ἐνίκα δὲ ὅμως τὸ μὴ μεταμελεῖν αὐτοῖς, ἀλλ᾽ ἐφ᾽
prevailed and nevertheless the not to-change-their-minds for-them but to
ἃ ὥρμηντο τὴν ἀρχὴν καὶ δὴ ἐπὶ ταῦτα ἰέναι.
which(-things) they-had-set-out the beginning and indeed to these(-things) to-go

21 Ἐν τούτῳ δὲ ὁ Ναρσῆς τῇ Ῥαβέννῃ ἐπιστάς, καὶ
in this and — Narses — at-Ravenna having-arrived and
τοῖς ἐνταῦθα στρατεύμασιν ὁμιλήσας, καὶ πάντα
with-the there armies having-conversed and all
ἐν δέοντι καταστησάμενος, ἐς Ἀρίμηνον ἐχώρει τὴν
in need having-arranged to Ariminum went the
πόλιν, ξὺν τοῖς ὁπόσοι αὐτῷ καὶ πρότερον εἵποντο.
city with the(-ones) as-many-as him also before followed

ἐπειδὴ γὰρ Οὐάκκαρος ὁ Οὔαρνος τὸ γένος ὀλίγῳ
when for Vaccarus the Varnian by-the race (a)-little
πρότερον ἐτεθνήκει, ἀνὴρ ἐν τοῖς μάλιστα δεινός τε
before had-died (a)-man in the most terrible both
καὶ φιλοπόλεμος, αὐτίκα ὁ παῖς ὁ ἐκείνου Θευδίβαλδος
and war-loving at-once the son the his Theudibald
(τοῦτο γὰρ ὄνομα τῷ παιδὶ) ἅμα τοῖς ἑπομένοις
this for (the)-name for-the son together-with the following
Οὐάρνοις, βασιλεῖ τῶν Ῥωμαίων προσεχώρει, καὶ ἐς
Varni to-(the)-emperor of-the Romans went-over and to
Ἀρίμηνον παρῆν ὡς αὐτοῦ τῷ Ναρσῇ ἐντευξόμενος. ὃν
Ariminum was-present as there — with-Narses going-to-meet which
δὴ ἕνεκα ἐνταῦθα καὶ ὅγε ἀφῖκτο, ἐφ᾽ ᾧ ἅπαντας
indeed for-the-sake there also he had-come on which all
χρυσίῳ φιλοφρονησάμενος, βεβαίους ἐς ὅ, τι μάλιστα
with-gold having-treated-kindly firm to what ever most
ἔχοι ξυμμάχους. ἐν τούτοις δὲ αὐτοῦ διημερεύοντος,
he-might-have allies in these and him spending-the-day
ἄνδρες τῶν Φράγγων ἐς δισχιλίους ἀναμὶξ πεζοὶ καὶ
men of-the Franks to two-thousand mixed foot-soldiers and
ἱππόται, οἳ δὴ ἐτύγχανον ἐς ἁρπαγάς τε καὶ λεηλασίας
horsemen who indeed happened for plunderings both and raids
τῆς χώρας ὑπὸ τῶν σφετέρων ἡγεμόνων σταλέντες,
of-the land by the their-own leaders sent
οὗτοι δὲ ἀγχοῦ τῆς πόλεως γεγενημένοι, τούς τε ἀγροὺς
these and near of-the city having-come the both fields
ἐσίνοντο, καὶ τοὺς βόας εἷλκον τοὺς ἀροτῆρας, καὶ
ravaged and the oxen dragged-off the plowing and
ἅπαντα ἔφερον ἀνέδην, ὡς καὶ αὐτὸν δήπου τὸν Ναρσῆν
all carried-off openly so-that also he-himself surely — Narses
ἐπιφράσασθαι τὰ ποιούμενα. ἧστο γὰρ ἐς ὑπερῷόν
to-notice the(-things) being-done he-sat for in upper

τι δωμάτιον ἐν περιωπῇ τοῦ πεδίου. αὐτίκα δὴ οὖν,
some room in view of-the plain at-once indeed then
(αἰσχρὸν γάρ τι καὶ ἀγεννὲς ᾤετο εἶναι τὸ μὴ οὐχὶ
shameful for something and ignoble he-thought to-be the not not
ἐκ τῶν παρόντων ἀμύνασθαι,) ὑπεξῄει τοῦ ἄστεος, ἵππου
from the present(-means) to-defend went-out of-the town (a)-horse
ἐπιβὰς εὐηνιωτάτου καὶ ἀγερώχου, καὶ οἵου οὐκ
having-mounted most-obedient and spirited and such-as not
ἄτακτα ἐξάλλεσθαι καὶ σκιρτᾷν, ἀλλὰ τάς τε ἐπελάσεις
disorderly to-leap-about and to-prance but the both charges
καὶ ἀναστροφὰς τῇ πείρᾳ πεπαιδευμένου· ἀλλὰ γὰρ καὶ
and wheelings by-the experience trained but for also
τῶν ἀμφ᾽ αὐτὸν τοὺς ὁπόσοι οὐ πάμπαν ἀγνῶτες
of-the(-ones) about him the(-ones) as-many-as not altogether ignorant
τὰ πολέμια ἦσαν ἕπεσθαί οἱ ἐκέλευε. καὶ οἱ
(at)-the(-things) of-war were to-follow him he-ordered and they
μὲν ἐς τοὺς ἵππους ἀναθορόντες (ἦσαν δὲ ἄνδρες ἐς
indeed on the horses having-leapt were and men to
τριακοσίους) ἐφωμάρτουν τε καὶ ἐπήλαυνον ἰθὺ τῶν
three-hundred accompanied both and rode straight at-the
πολεμίων. οἱ δὲ ἐσιδόντες αὐτοὺς ἐπιόντας, σποράδην μὲν
enemies they and having-seen them attacking scattered indeed
οὐκέτι ἠλῶντο, οὐδὲ οἶμαι τῆς λείας ἐμέμνητο· ἠθροίζοντο
no-longer wandered nor I-think of-the booty remembered gathered
δὲ ἐπὶ σφᾶς ἅπαντες, τό τε ἱππικὸν καὶ οἱ πεζοί, καὶ
and upon themselves all the both cavalry and the foot-soldiers and
ἐς φάλαγγα ξυνετάττοντο, βαθεῖαν μὲν οὔτι μάλα (πῶς
into (a)-phalanx were-drawn-up deep indeed not-at-all very how
γὰρ οἷόν τε ἦν οὐ σφόδρα πολλῶν αὐτοῦ ἀφιγμένων;)
for able — was not very many there having-come
καρτερὰν δὲ ὅμως τῷ συνασπισμῷ καὶ τῷ τὰ κέρα
strong and nevertheless by-the locking-of-shields and by-the the wings

ἐν κόσμῳ συννενευκέναι. οἱ δὲ Ῥωμαῖοι ἐπειδὴ ἐς τόξου
in order to-have-inclined-together the and Romans when to of-bow
γε ἤδη βολὴν ἐγεγένηντο, ἐμμίξαι μὲν καὶ συῤῥάξαι
at-least already shot had-come to-mix indeed and to-clash
τοῖς πολεμίοις εὖ παρατεταγμένοις ἥκιστα ᾤοντο
with-the enemies well drawn-up least thought
χρῆναι, τοξεύμασι δὲ καὶ ἀκοντίσμασιν ἀκροβολιζόμενοι,
to-be-needful with-arrows and and with-javelins skirmishing
ἐπειρῶντο σφῆλαι τοὺς πρωτοστάτας, καὶ διαῤῥῆξαι τὴν
tried to-trip the front-rankers and to-break-through the
πύκνωσιν τοῦ μετώπου. ἀλλ᾽ ἐκεῖνοι ταῖς ἀσπίσιν ἄριστα
density of-the front but they with-the shields best
περιπεφραγμένοι, ἵσταντο ἀστεμφεῖς καὶ ἀδόνητοι, οὐδαμοῦ
fenced-around stood unmoved and unshaken nowhere
τὸ συνεχὲς τῆς τάξεως διασπῶντες, ἐπεὶ καὶ ὕλης τινὸς
the continuity of-the line breaking since also wood some
λασίας κυρήσαντες, ὥσπερ ἐρύματι τοῖς δένδροις ἐχρῶντο.
dense having-come-upon as as-a-bulwark the trees used
ἤδη δὲ καὶ τοῖς ἄγγωσιν ἠμύνοντο βάλλοντες· οὕτω
already and also with-the angons defended-themselves throwing so
γὰρ αὐτοῖς τὰ ἐπιχώρια δόρατα ἐπωνόμασται.
for to-them the native spears have-been-named
Ὡς δὲ οὐδὲν ἐπημαίνοντο, διαλογισάμενος ἅπαντα ὁ 22
as and nothing they-were-harmed having-considered all —
Ναρσῆς, βαρβαρικήν τινα στρατηγίαν καὶ μᾶλλον τοῖς
Narses barbarian some stratagem and rather by-the
Οὔννοις μεμελετημένην ἐμηχανᾶτο. ἐκέλευε γὰρ τοὺς
Huns practiced devised he-ordered for the(-ones)
ἀμφ᾽ αὐτὸν στρέψαντας τὰ νῶτα, ἐς τὰ ὀπίσω ἀναχωρεῖν
about him having-turned the backs to the rear to-withdraw
προτροπάδην, ὡς δὴ δεδιότας καὶ φεύγοντας, καὶ
headlong as indeed fearing and fleeing and

ἐκκαλεῖσθαι τοὺς βαρβάρους ὡς ἀπωτάτω τῆς νάπης ἀνὰ
to-draw-out the barbarians as farthest from-the glen over
τὰ ψιλὰ τοῦ πεδίου. αὐτῷ γὰρ τὰ λοιπὰ ἔφη μελήσειν.
the bare(-parts) of-the plain to-him for the rest he-said to-be-a-care
καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν, καὶ ἔφευγον. οἱ
and they indeed according-to these(-orders) did and fled the
δὲ Φράγγοι τῇ φυγῇ ἐξηπατημένοι, καὶ ἀληθὲς τὸ δέος
and Franks by-the flight deceived and true the fear
εἶναι ὑποτοπήσαντες, αὐτίκα θαῤῥαλέοι τήν τε φάλαγγα
to-be having-suspected at-once bold the both phalanx
διέλυσαν, καὶ τῆς ὕλης ὑπεκβάντες, ἐς τὴν δίωξιν
broke-up and from-the wood having-come-out to the pursuit
ἠπείγοντο. καὶ πρῶτοι μὲν ἐξέθεον οἱ ἱππόται· εἵποντο
hastened and first indeed ran-out the horsemen followed
δὲ καὶ τῶν πεζῶν ὁπόσοι ἀλκιμώτατοι καὶ ποδώκεις·
and also of-the foot-soldiers as-many-as most-valiant and swift-footed
καὶ ἅπαντες ἀφειδῶς ἐνέκειντο, ὡς αὐτὸν δή που τὸν
and all unsparingly pressed-on as him indeed somehow —
Ναρσῆν αὐτίκα μάλα ζωγρήσοντες, καὶ πόνῳ ξὺν βραχεῖ
Narses straightway very going-to-take-alive and with-toil with short
πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ. καὶ οἱ μὲν
end wished-for going-to-put to-all the war and they indeed
εὐκοσμίας ἁπάσης ἐπιλελησμένοι, χύδην τε καὶ ἀφύλακτα
of-good-order all having-forgotten promiscuously both and unguarded
ἐχώρουν, γεγηθότες καὶ εὐωχούμενοι τῆς ἐλπίδος. οἱ δὲ
went rejoicing and feasting-on the hope the and
Ῥωμαῖοι ἀνὰ τὰ πρόσω ἐφέροντο ἀφειμένοις τοῖς ἵπποις,
Romans over the forward(-parts) were-borne with-let-loose the horses
φαίης τε ἂν αὐτοὺς ἔργῳ τρέσαντας ἀλεείνειν, οὕτω
you-would-say both — them in-deed having-trembled to-avoid(-them) so
δή τι ἐγγύτατα τοῦ ἀληθοῦς τὸ δεδιέναι ὑπεκρίνοντο.
indeed somewhat nearest of-the truth the to-fear they-feigned

ἐπεὶ δὲ οἱ βάρβαροι ἐν γυμνῷ ἤδη τῷ πεδίῳ ἐσκεδάννυντο,
when and the barbarians in bare already the plain were-scattered
τῆς ὕλης ὡς πορρώτατω ἀποσπασθέντες, τότε δὴ
from-the wood as farthest drawn-away then indeed
ἀθρόον, τοῦ στρατηγοῦ σημήναντος, ἐπιστρέψαντες οἱ
all-at-once the general having-signaled having-turned the
Ῥωμαῖοι τοὺς ἵππους, καὶ ἐς τἀναντία σφᾶς αὐτοὺς
Romans the horses and to the-opposite them selves
ἐξελίξαντες, ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι, καὶ
having-wheeled met the pursuers face-to-face and
ἅπαντας τῷ ἀπροσδοκήτῳ καταπεπληγμένους ἔπαιον
all by-the unexpectedness struck-with-terror struck
ἀφειδῶς καὶ ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς
unsparingly and pushed-back and to counter-pursuit the(-things) of-the
φυγῆς μετεχώρει. οἱ μὲν οὖν ἱππόται τῶν βαρβάρων
flight changed the indeed then horsemen of-the barbarians
ξυναισθόμενοι τοῦ περιστάντος κινδύνου, καὶ τάχιστα
perceiving the surrounding danger and quickest
ἐκδραμόντες ἀνὰ τὴν ὕλην αὖθις καὶ τὸ σφῶν στρατόπεδον,
having-run-out through the wood again and the their camp
ἄσμενοι ἀπεσώζοντο. οἱ δὲ πεζοὶ ἐκτείνοντο ἀκλεῶς,
gladly were-saved the and foot-soldiers were-killed ingloriously
μηδὲ χεῖρα κινεῖν ὑποστάντες, ἀλλὰ τῷ παραλόγῳ τῆς
not-even (a)-hand to-move having-ventured but at-the unexpectedness of-the
μεταβολῆς τεθηπότες, καὶ οἷον παράφρονες γεγενημένοι.
change astounded and as-it-were out-of-their-minds having-become
ἅπαντες τοιγαροῦν ἔκειντο σποράδην, ὥσπερ ἀμέλει ὑῶν
all therefore lay scattered as certainly of-swine
ἢ προβάτων ἀγέλη οἰκτρότατα διαφθαρέντων. ἐπεὶ δὲ
or of-sheep (a)-herd most-piteously destroyed when and
ἐκεῖνοι ἀνῃρηντο οἱ ἄριστοι ἄνδρες, πλείους ὄντες ἢ
those were-killed the best men more being than

ἐννακόσιοι, αὐτίκα οἱ ἄλλοι ἀπεχώρουν καὶ μετανίσταντο,
nine-hundred at-once the others withdrew and removed
καὶ ἐπὶ τοὺς σφετέρους ἡγεμόνας ἐπανῄεσαν, ὡς οὐκέτι
and to the their-own leaders returned as no-longer
αὐτοῖς ἐν τῷ ἀσφαλεῖ ἐσόμενον τοῦ λοιποῦ πλήθους
for-them in the safety going-to-be from-the remaining multitude
ἀποκεκρίσθαι. Ναρσῆς δὲ αὖθις ἐς Ῥάβενναν ἀφικόμενος,
to-be-separated Narses and again to Ravenna having-come
καὶ ἅπαντα τὰ τῇδε ἄριστα διαθείς, ἀνὰ τὴν
and all the(-things) there best having-arranged to —
Ῥώμην ἐχώρει καὶ αὐτοῦ διεχείμαζεν.
Rome went and there wintered

V · THE TWO INVADERS

In spring Narses drills his army at Rome. Leutharis, laden with plunder, starts home; his vanguard is routed near Fanum by Artabanes and Uldach, and his army dies of plague in Venetia, he with it. Butilinus, having ravaged the south as far as the Sicilian strait, turns back toward Campania and encamps by the river Casulinus. He exhorts his men, and Agathias describes the Franks' arms, above all the barbed angon. Narses camps close by, Charanges burns the Franks' tower on the bridge, and the Franks array for battle against their seers' warning.

Ἤδη δὲ τοῦ ἦρος ἐπιγινομένου, ἐνταῦθα κατὰ τὸ 1
already and the spring coming-on there according-to the
προστεταγμένον ξυνεκροτοῦντο αἱ δυνάμεις, καὶ ἅπαντα
order were-gathered the forces and all
ἤθροιστο τὰ στρατεύματα. Ναρσῆς δὲ ἐξασκεῖν
had-been-assembled the armies Narses and to-train
τε ἐπιπλέον αὐτοὺς ἐκέλευεν τὰ πολέμια, καὶ
both further them ordered (in)-the(-things) of-war and
ἐπερῤῥώννυεν τὸν θυμὸν ταῖς καθημέραν μελέταις·
strengthened the spirit with-the daily exercises
τροχάζειν τε ἀναγκάζων καὶ ὑπὲρ τῶν ἵππων ἐν κόσμῳ
to-run both compelling and onto the horses in order
ἀναπάλλεσθαι, ἔς τε πυῤῥίχην [τινὰ ἐνόπλιον ὄρχησιν]
to-leap-up into both war-dance some armed dance
περιδινεῖσθαι, καὶ θαμὰ τῇ σάλπιγγι καταβομβεῖσθαι
to-whirl-around and often by-the trumpet to-be-deafened
τὸ ἐνυάλιον ἐπηχούσῃ, ὡς μὴ πάμπαν τῷ ἀνειμένως
the war(-note) sounding so-that not altogether by-the slackly
διαχειμάζειν ἐπιλελησμένοι τοῦ πολέμου, εἶτα ἐν αὐτῷ
to-winter having-forgotten the war then in itself

δὴ τῷ ἀγῶνι μαλθακισθεῖεν. Ἐν τούτῳ δὲ οἱ βάρβαροι
indeed the contest they-should-grow-soft in this and the barbarians
σχολαίτερον πορευόμενοι τὰ ἐν ποσὶν ἅπαντα ἐδήουν
more-leisurely marching the(-things) at feet all ravaged
καὶ ἐλυμαίνοντο. ὑπερβάντες δὲ ὡς ἀνωτάτω Ῥώμην τε
and harmed having-passed and as highest Rome both
τὴν πόλιν καὶ ἅπασαν τὴν περιοικίδα, ᾔεσαν ἀνὰ τὰ
the city and all the environs went over the
πρόσω· ἐν δεξιᾷ μὲν ἔχοντες τὰ Τυρσηνικὰ πελάγη,
forward(-parts) on right indeed having the Tyrrhenian seas
ἐπὶ θάτερα δὲ αὐτοῖς παρετέταντο αἱ τοῦ Ἰονίου
on the-other-side and for-them extended the of-the Ionian
κόλπου ῥηγμῖνες. ἐπεὶ δὲ ἐς Σάμνιον, τὴν χώραν οὕτω
gulf breakers when and to Samnium the land so
καλουμένην, ἀφίκοντο, ἐνταῦθα διεκρίθησαν ἐφ' ἑκατέραν
called they-came there they-separated to each
πορείαν. καὶ Βουτιλῖνος μὲν ἅμα τῷ πλείονι καὶ
march and Butilinus indeed with the greater and
ἀλκιμωτάτῳ στρατῷ ἀνὰ τὰς Τυρσηνικὰς ᾐόνας ἐχώρει·
most-valiant army along the Tyrrhenian shores went
καὶ Καμπανίας τε τὰ πλεῖστα ἐληΐσατο, καὶ μὲν δὴ
and of-Campania both the most plundered and indeed indeed
καὶ Λευκανίας ἐπέβη, καὶ εἶτα Βρεττίᾳ προσέβαλλεν, καὶ
also Lucania entered and then Bruttium attacked and
μέχρι τοῦ πορθμοῦ προῆλθεν, ὃς δὴ Σικελίαν τε τὴν
as-far-as the strait advanced which indeed Sicily both the
νῆσον καὶ τὸ τέρμα τῆς Ἰταλίας ἀποκρίνει. Λεύθαρις δὲ
island and the end — of-Italy separates Leutharis and
τὰ λοιπὰ στρατεύματα ἐπαγόμενος, Ἀπουλίαν ἔλαχε
the remaining armies bringing Apulia got-as-his-lot
σίνεσθαι καὶ Καλαβρίαν. καὶ ἕως Ὑδροῦντος τῆς πόλεως
to-ravage and Calabria and as-far-as Hydrus the city

ἵκετο, ἣ δὴ ἐπὶ τῷ αἰγιαλῷ ἵδρυται τῆς Ἀδριάδος
came which indeed on the shore is-situated of-the Adriatic
θαλάττης, ὅθεν ὁ Ἰόνιος ἄρχεται κόλπος. ὅσοι μὲν
sea whence the Ionian begins gulf as-many-as indeed
οὖν αὐτῶν Φράγγοι ἰθαγενεῖς ἐτύγχανον ὄντες, οὗτοι δὲ
then of-them Franks native happened being these and
φειδοῖ πολλῇ ἀμφὶ τὰ ἱερὰ καὶ εὐλαβείᾳ ἐχρῶντο,
sparing much about the sanctuaries and reverence used
ἅτε δὴ τὰ ὀρθὰ καὶ οἱ τοῦ κρείττονος πέρι νόμιμα
as indeed the right(-beliefs) also the of-the stronger(-power) about customs
προσιέμενοι, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, καὶ παραπλήσια τοῖς
accepting as-very by-me already was-said and similarly to-the
Ῥωμαίοις ἱερουργοῦντες. τὸ δὲ Ἀλαμανικὸν ἅπαν, (ἕτερα
Romans worshiping the and Alamannic all other(-things)
γὰρ ἐκείνοις ἐς τοῦτο δοκεῖ,) ἐδῄουν τοὺς νεὼς ἀφειδῶς,
for to-them in this seem ravaged the temples unsparingly
καὶ ἀπηγλάϊζον. πολλὰς μὲν γὰρ κάλπεις ἱεράς, πολλὰ
and stripped-of-ornament many indeed for urns sacred many
δὲ περιῤῥαντήρια πάγχρυσα, συχνὰ δὲ κύπελλα καὶ κανᾶ,
and basins all-gold many and cups and baskets
καὶ ὅσα ταῖς μυστικαῖς ἁγιστείαις ἀνεῖται, ταῦτα δὲ
and as-many-as for-the mystic rites are-devoted these(-things) and
ἀφαιρούμενοι, ἅπαντα οἰκεῖα κτήματα ἐποιοῦντο. τοῖς δὲ
taking-away all own possessions made to-them and
οὐδὲ τάδε ἀπέχρη, ἀλλὰ τάς τε ὀροφὰς τῶν ἱερῶν
not-even these(-things) sufficed but the both roofs of-the holy
ἀνακτόρων κατέβαλλον, καὶ τὰς κρηπῖδας ἀνεκίνουν·
shrines they-threw-down and the foundations stirred-up
λύθρῳ τε τὰ τεμένη περιεῤῥεῖτο, καὶ τὰ λήϊα ἐμιαίνετο,
with-gore both the precincts were-streamed-around and the crops were-polluted
πολλαχοῦ νεκρῶν ἀτάφων περιεῤῥιμμένων. ἀλλ᾽ οὐκ ἐς
in-many-places dead(-men) unburied thrown-about but not at

μακρὰν αὐτοὺς τὰ ἐνθένδε μετῆλθεν μηνίματα. οἱ μὲν
long them the from-there pursued wraths they indeed
γὰρ πολέμῳ, τὸ δέ τι αὐτῶν νόσῳ διεφθάρη, καὶ
for by-war the(-part) and some of-them by-disease perished and
οὐδεὶς ὅστις ἀπώνατο τῆς προτέρας ἐλπίδος· ἀδικία γὰρ
no-one who enjoyed the former hope injustice for
καὶ θεοῦ ἀθεραπευσία φευκτὰ μὲν ἀεὶ καὶ ἀσύμφορα,
and of-God neglect to-be-shunned indeed always and unprofitable
μάλιστα δὲ ἐν τῷ προσπολεμεῖν καὶ παρατάττεσθαι.
most and in the to-make-war and to-be-arrayed
πατρίδι μὲν γὰρ ἐπαρήγειν καὶ νόμοις πατρίοις, καὶ
for-fatherland indeed for to-help and laws ancestral and
τοῖς ταῦτα λυμαινομένοις ἥκιστα ἐφιέναι, ἀλλὰ παντὶ
the(-ones) these(-things) harming least to-allow but with-all
σθένει ἀμύνεσθαι, ὅσιόν τι ἂν εἴη καὶ μάλα
strength to-defend-oneself holy something — would-be and very
γενναῖον. ὅσοι δὲ κέρδους ἕκατι καὶ δυσμενείας
noble as-many-as and of-gain for-the-sake and of-enmity
ἀλόγου, μηδὲν ἐπίκλημα ἔνδικον ἔχοντες, ἔπειτα φοιτῶσιν
unreasonable no charge just having then roam
ἀνὰ τὴν ὀθνείαν, τοὺς μηδὲν ἠδικηκότας σινόμενοι, οὗτοι
over the foreign(-land) the(-ones) nothing having-wronged harming these
δὲ ἀλαζόνες εἰσὶ καὶ ἀτάσθαλοι, οὔτε θέμιν εἰδότες, οὔτε
and braggarts are and reckless neither right knowing nor
μέλον αὐτοῖς εἰ τὸ θεῖον νεμεσᾷ τοῖς γιγνομένοις.
being-a-care to-them if the divine is-indignant at-the(-things) happening
τοιγάρτοι ποιναί γε αὐτοὺς μετίασιν ἀκριβεῖς, καὶ
therefore penalties at-least them pursue exact and
σφίσιν ἐς ἀνηκέστους συμφορὰς τὰ πράγματα τελευτῶσιν,
for-them to incurable misfortunes the affairs end

εἰ καὶ ἐπὶ βραχὺ εὐημερεῖν νομισθεῖεν. ὁποῖα καὶ τότε
if even for short to-prosper they-should-be-thought such-as also then
τοῖς ἀμφὶ Λεύθαρίν τε καὶ Βουτιλῖνον βαρβάροις ξυνέβη.
for-the about Leutharis both and Butilinus barbarians befell
Ἐπειδὴ γὰρ ταῦτα ἔδρασαν, καὶ πολύ τι λαφύρων 2
when for these(-things) they-did and great some of-spoils
περιεβάλοντο χρῆμα, ἤδη τε τὸ ἔαρ παρῳχήκει, καὶ
had-acquired amount already both the spring had-passed and
ἡ τοῦ θέρους ἤκμαζεν ὥρα, Λευθαρίῳ μέν, θατέρῳ
the of-the summer was-at-its-height season to-Leutharis indeed the-one
τῶν ἡγεμόνων, βουλομένῳ ἦν οἴκαδε ἀπονοστῆσαι,
of-the leaders wishing it-was home to-return
καὶ τοῦ ὅλβου ἐμπιπλᾶσθαι. ἔστελλεν δὲ ὡς τὸν
and with-the wealth to-be-filled he-sent and to the
ἀδελφὸν ἀγγελιαφόρους, παρακελευόμενος καὶ τόνδε ὡς
brother messengers urging also him as
τάχιστα ἐπανιέναι, χαίρειν εἰπόντα τῷ πολέμῳ, καὶ τῇ
quickest to-return farewell having-said to-the war and to-the
ἀδήλῳ τύχῃ τῶν ἐσομένων. Βουτιλῖνος δὲ καὶ ὅτι
uncertain fortune of-the(-things) going-to-be Butilinus and both because
ὀμωμόκει τοῖς Γότθοις, ἢ μὴν ξυνάρασθαι αὐτοῖς τὸν
he-had-sworn to-the Goths truly — to-share with-them the
πρὸς Ῥωμαίους ἀγῶνα, καὶ ὅτι αὐτὸν ἐκεῖνοι ἐθώπευον,
against Romans contest and because him they flattered
βασιλέα σφῶν ἀναδείξειν ἐπιθρυλλοῦντες, ἐδόκει οἱ
king of-them to-proclaim(-him) spreading-the-talk it-seemed to-him
μενετέα εἶναι, καὶ τὰ ξυγκείμενα διανυστέον. καὶ
one-must-remain to-be and the(-things) agreed one-must-accomplish and
ὁ μὲν τούτων δὴ ἕνεκα ἔμενέ τε αὐτοῦ, καὶ τὰ
he indeed these indeed for-the-sake remained both there and the(-things)
ἐς τὸν πόλεμον ἐξηρτύετο. Λεύθαρις δὲ ἅμα τῇ ἀμφ᾽
for the war prepared Leutharis and together-with the about

αὐτὸν δυνάμει εὐθὺς ἀπεχώρει, καὶ ὡς ἂν ἀσφαλέστατα
him force at-once withdrew and so-that — most-securely
τὴν λείαν διακομίσῃ ἠπείγετο, βεβουλευμένον αὐτῷ,
the booty he-might-convey hastened it-having-been-planned by-him
ἐπειδὰν οἴκαδε ἵκηται, τότε δὴ εὐθὺς ὡς τὸν ἀδελφὸν
when home he-should-arrive then indeed at-once to the brother
στεῖλαι τὸ στράτευμα ξυλληψόμενον αὐτῷ τοῦ κινδύνου.
to-send the army going-to-share with-him the danger
ἀλλ᾽ οὔτε ἐκείνῳ ἐς τέλος ἀπέβη τὰ δοκηθέντα,
but neither for-that-one to (the)-end turned-out the(-things) intended
τῷ τε ἀδελφῷ οὐ μάλα ἤρκεσεν ἐπαμῦναι. ἤδη γὰρ
for-the both brother not very he-sufficed to-help already for
αὐτῷ ἀνὰ τὴν αὐτὴν πορείαν ἐπανερχομένῳ, μέχρι μὲν
to-him along the same route returning as-far-as indeed
Πικηνοῦ τῆς χώρας οὐδενότι ἀντίπαλον ξυνηνέχθη. ὡς
Picenum the land nothing-whatever adverse befell when
δὲ ἐνταῦθα ὁδῷ ἰὼν ἐγεγόνει, αὐτὸς μὲν περὶ τὴν
and there on-the-road going he-had-come he-himself indeed about —
Φᾶνον ἐστρατοπεδεύετο τὴν πόλιν. ἔστελλε δὲ εὐθύς,
Fanum encamped the city sent and at-once
ὥσπερ εἰώθει, προφύλακας καὶ διοπτῆρας ἄνδρας ἐς
as he-was-accustomed advance-guards and scouts men to
τρισχιλίους, οὐ μόνον ἐπισκεψομένους τὰ πρόσω, ἀλλὰ
three-thousand not only going-to-survey the forward(-parts) but
γὰρ καί, εἴπου πολέμιοι φανεῖεν, ἀμυνουμένους.
for also if-somewhere enemies should-appear going-to-defend-against(-them)
Ἀρταβάνης δὲ καὶ Οὔλδαχ ὁ Οὖννος, ἐτύγχανον γὰρ
Artabanes and and Uldach the Hun happened for
ἅμα στρατεύματι Ῥωμαϊκῷ τε καὶ Οὐννικῷ εἰς
together-with (an)-army Roman both and Hunnic in
Πίσαυρον τὴν πόλιν ξυνειλεγμένοι καὶ ἐφεδρεύοντες τῇ
Pisaurum the city gathered and lying-in-wait-for the

παρόδῳ, οὗτοι δὴ οὖν, ἐπειδὴ ἐκείνους τοὺς προπορευτὰς
passage these indeed then when those the forerunners
ἐθεάσαντο ἐν αὐτῷ δὴ τῷ αἰγιαλῷ τοῦ Ἰονικοῦ κόλπου
they-saw on itself indeed the shore of-the Ionian gulf
καὶ τῇ κροκάλῃ πορευομένους, ὑπεκβάντες τοῦ ἄστεος,
and the shingle marching having-gone-out of-the town
ἐσβάλλουσιν ἀθρόον ἐς αὐτούς, εὖ μάλα παρατεταγμένοι,
fall all-at-once on them well very drawn-up
καὶ πολλοὺς μὲν τοῖς ξίφεσι παίοντες διεχρῶντο. ἔνιοι
and many indeed with-the swords striking destroyed some
δὲ αὐτῶν ὑπὲρ τὸ κρημνῶδες καὶ ἀπερρωγὸς τῆς ἠιόνος
and of-them over the precipitous and broken of-the shore
ἀναβάντες, ἔπειτα κατὰ τοῦ πρανοῦς ὑποφερόμενοι, καὶ
having-gone-up then down the slope carried-down and
ἐς τὴν θάλατταν κατωκάρα ἐκπίπτοντες, ἀπώλλυντο,
into the sea headfirst falling-out perished
ἐμφορούμενοι τοῦ ῥοθίου. ἐπῆρται γάρ πως ἐνταῦθα ἡ
being-filled with-the surf is-raised for somehow there the
ἀκτή, καὶ ὥσπερ γεώλοφόν τι ἀποτελεῖ, οὐ πανταχόθεν
shore and as hillock some forms not everywhere
βατόν τε καὶ ἐπίδρομον, οὐδὲ οἷον τοῖς ἐπ᾽ ἄκρου
passable both and open-to-attack nor such-as to-the(-ones) at (the)-top
γιγνομένοις εὐκόλους παρέχειν τὰς ἀναβάσεις, ἀλλ᾽
being easy to-provide the ascents but
ὀλισθηρόν, ὡς τὰ πολλά, καὶ σηραγγῶδες καὶ ἐς τὸ
slippery as the most(-part) and full-of-clefts and to the
βαθυνόμενον τῆς ῥηγμῖνος ἐπικεκλιμένον. οὕτω δὴ οὖν
deepening of-the surf sloping thus indeed then
τῶν πλείστων διαφθειρομένων, καθορῶντες οἱ ἄλλοι
the most perishing seeing the others
ἔφυγον οὐδενὶ κόσμῳ, βοῇ τε ξὺν πολλῇ καὶ οἰμωγῇ
fled in-no order with-outcry both with much and lamentation

ἀνὰ τὸ στρατόπεδον εἰσπεσόντες, θορύβου καὶ ταραχῆς
into the camp having-fallen of-din and confusion
ἅπαντα ἔπλησαν, ὡς αὐτίκα μάλα τῶν Ῥωμαίων
all filled as straightway very the Romans
ἐπελευσομένων. αὐτός τε δὴ οὖν Λεύθαρις διανίστατο
going-to-attack he-himself both indeed then Leutharis stood-up
ἐς παράταξιν, καὶ ἅπαν τὸ στράτευμα ἐκινεῖτο· καὶ
for battle-array and all the army was-moved and
τοίνυν, ἀναλαβόντες τὰ ὅπλα, ἐς φάλαγγα καθίσταντο,
therefore having-taken-up the arms into (a)-phalanx they-formed
βαθεῖάν τε καὶ ἐπιμέγα παρατεταμένην. ἐν τούτοις δὲ
deep both and greatly extended in these and
αὐτῶν καταστάντων, καὶ οὐδὲν ὁτιοῦν αὐτοῖς ἕτερον ἐν
them having-been-set and nothing whatever to-them other in
νῷ τίθεσθαι παρέχοντος τοῦ καιροῦ, οἱ πλεῖστοι τῶν
mind to-put allowing the moment the most of-the
αἰχμαλώτων ἀφύλακτοι ἀθρόον γεγενημένοι, ἀπεχρῶντο
captives unguarded all-at-once having-become used
ἐν δέοντι τῇ τῶν πολεμίων ἀσχολίᾳ· αὐτοί τε γὰρ
in need the of-the enemies preoccupation they-themselves both for
ὡς τάχιστα διεδίδρασκον, καὶ τῶν λαφύρων ὁπόσα οἷόν
as quickest ran-away and of-the spoils as-much-as able
τε ἦν ἐς τὰ ἐχόμενα φρούρια διεκόμισαν.
— was to the adjoining fortresses conveyed

3 Ἐπεὶ δὲ Ἀρταβάνης τε καὶ Οὔλδαχ, ᾤοντο γὰρ οὐκ
when and Artabanes both and Uldach thought for not
ἀξιόμαχοι εἶναι, ἥκιστα ἐπεξῆγον τὸ στράτευμα, τότε
a-match to-be least led-out the army then
δὴ οἱ Φράγγοι διελύετο μὲν αὐτοῖς ἡ παράταξις,
indeed the Franks was-dissolved indeed for-them the array
κατὰ σφᾶς δὲ γινόμενοι καὶ γνωματεύοντες, διεγίνωσκον
by themselves and becoming and reckoning they-discerned

ὁπόσων ἐτύγχανον ἀφῃρημένοι. πρίν γε δὴ οὖν καὶ
of-how-much they-happened deprived before at-least indeed then also
ἕτερόν τι παθεῖν, ἐδόκει αὐτοῖς ἐν καλῷ ἔσεσθαι,
other something to-suffer it-seemed to-them in good(-case) to-be
εἴγε ὡς τάχιστα ἐκ Φάνου τῆς πόλεως ἀναστάντες,
if-indeed as quickest from Fanum the city having-set-out
ἴοιεν ἀνὰ τὰ πρόσω. καὶ τοίνυν αὐτίκα ἐχώρουν,
they-should-go over the forward(-parts) and therefore at-once they-went
ἀφέντες δὲ ἐν δεξιᾷ τὸν Ἰόνιον κόλπον καὶ ἅπασαν τὴν
having-left and on right the Ionian gulf and all the
παράκτιόν τε καὶ ψαμαθώδη πορείαν, ἀνὰ τοὺς πρόποδας
coastal both and sandy route along the foothills
τοῦ Ἀπιννaίου ὄρους ἐπορεύθησαν. οὕτω τε ἰθὺ
of-the Apennine mountain they-marched thus both straight
Αἰμιλείας καὶ Ἀλπισκοτίας ἐλθόντες, μόλις τὸν Πάδον
of-Aemilia and of-Alpis-Cottia having-gone scarcely the Po
ἐπεραιοῦντο. καταλαβόντες δὲ Βενετίαν τὴν χώραν, ἐς
they-crossed having-reached and Venetia the land to
Κένετα τὴν πόλιν κατήκοον οὖσαν σφῶν ἐν τῷ τότε
Ceneta the city subject being to-them in the then
ηὐλίζοντο, αὐτοῦ τε τολοιπὸν ἐν τῷ ἀσφαλεῖ διαιτώμενοι,
they-bivouacked there both the-rest in the safety living
ἤσχαλλόν γε ὅμως καὶ ἐδυσφόρουν, καὶ πολύ τι
they-were-vexed at-least nevertheless and were-indignant and much something
ὑπῆρχε διαφανὲς τῆς γνώμης τὸ ἀνιώμενον. αἴτιον δὲ
was manifest of-the mind the grief (the)-cause and
ἦν, ὅτι δὴ αὐτοῖς ἐλάχιστα ἐκ τῆς λείας ἐλείπετο, καὶ
was that indeed to-them least from the booty was-left and
ἐδόκει ἄκαρπα καὶ ἀνόνητα διαπεπονηκέναι. ἀλλ᾽ οὐ μέχρι
it-seemed fruitlessly and profitlessly to-have-toiled but not as-far-as
τοῦδε μόνον αὐτοῖς τὰ τῶν δυστυχημάτων ἐχώρει.
this only for-them the(-things) of-the misfortunes went

ὀλίγῳ γὰρ ὕστερον καὶ νόσος τις λοιμώδης ἔφθειρε τὰ
by-little for later also disease some pestilential destroyed the
πλήθη ἐξαπιναίως ἐπεισπεσοῦσα. καὶ οἱ μὲν αὐτῶν
multitudes suddenly having-fallen-upon(-them) and some indeed of-them
μοχθηρὸν ἀποκαλοῦντες τὸν περικείμενόν σφίσιν ἀέρα
bad calling the surrounding them air
αἴτιον ἐκείνου τοῦ πάθους γεγενῆσθαι ἡγοῦντο. οἱ δὲ ὅτι
(the)-cause of-that the suffering to-have-become thought others and that
πολέμους τε συχνοὺς καὶ ὁδοιπορίας μακρὰς διανύσαντες,
wars both frequent and marches long having-accomplished
ἀθρόον ἐς τὸ ἁβροδίαιτον μετεβέβληντο, τὴν τῆς διαίτης
all-at-once to the luxurious had-changed the of-the diet
παραλλαγὴν ᾐτιῶντο, τὴν δέ γε ὡς ἀληθῶς ἀρχήν
alteration blamed the and at-least as truly beginning
τε καὶ ἀνάγκην τῆς συμφορᾶς οὐ μάλα διενοοῦντο.
both and necessity of-the misfortune not very they-perceived
ἦν δὲ ἄρα οἶμαι ἡ ἀδικία, καὶ τὸ περιϋβρίσθαι πρὸς
was and then I-think the injustice and the to-have-been-outraged by
αὐτῶν τά τε θεῖα ἀφειδῶς καὶ ἀνθρώπεια νόμιμα.
them the both divine unsparingly and human laws
αὐτὸς δὴ οὖν ὁ στρατηγὸς καὶ μάλα ἔνδηλος ἦν, ὅτι
he-himself indeed then the general also very evident was that
δὴ αὐτὸν θεήλατοι μετῆλθον ποιναί. παραπλήξ τε γὰρ
indeed him god-sent pursued penalties deranged both for
ἐγεγόνει, καὶ ἐλύττα περιφανῶς, καθάπερ οἱ ἔκφρονες
he-had-become and raved conspicuously like the senseless
καὶ μεμηνότες, κλόνος τε αὐτὸν ἐπεῖχε μυρίος, καὶ
and maddened agitation both him gripped countless and
οἰμωγὰς ἀφίει βαρείας· καὶ νῦν μὲν πρηνής, νῦν δὲ καὶ
lamentations he-uttered heavy and now indeed headlong now and also
ἐπὶ θάτερα ἐν τῷ ἐδάφει κατέπιπτεν· ἀφρῷ τε πολλῷ
to the-other-side on the ground fell with-foam both much

τὸ στόμα περιερρέῖτο· καὶ τὼ ὀφθαλμὼ βλοσυρώ γε
the mouth was-covered and the two-eyes fierce at-least
ἦστην καὶ παρατετραμμένω. ἐς τοῦτο δὲ ἄρα ὁ δείλαιος
were and distorted to this and then the wretch
ἀφῖκτο μανίας, ὥστε ἀμέλει καὶ τῶν οἰκείων μελῶν
came of-madness so-that certainly even of-the own limbs
ἀπογεύσασθαι. ἐχόμενος γὰρ ὀδὰξ τῶν βραχιόνων
to-taste holding for with-the-teeth the arms
καὶ διασπῶν τὰς σάρκας, κατεβίβρωσκέ γε αὐτὰς
and tearing the flesh he-devoured at-least them
ὥσπερ θηρίον διαλιχμώμενος τὸν ἰχῶρα. οὕτω δὲ ἑαυτοῦ
as (a)-beast licking-up the ichor thus and himself
ἐμπιπλάμενος, καὶ κατασμικρὸν ὑποφθινύθων, οἰκτρότατα
filling and little-by-little wasting-away most-piteously
ἀπεβίω. ἔθνησκον δὲ χύδην καὶ οἱ ἄλλοι, οὐδενότι
he-died died and in-heaps also the others nothing-whatever
καὶ ἀνιέντος τοῦ κακοῦ, ἕως ἅπαντες διεφθάρησαν. καὶ
also relenting the evil until all perished and
πυρετῷ μὲν οἱ πλεῖστοι πιεζόμενοι, νηφαλέοι γε ὅμως
by-fever indeed the most pressed sober at-least nevertheless
ἀπώλλυντο. ἐνίοις δὲ καὶ ἀποπληξία ἐνέσκηπτεν ἰσχυρὰ
perished on-some and also apoplexy fell strong
καὶ ἑτέροις καρηβαρία, καὶ παραφροσύνη ἑτέροις. ποικίλα
and on-others heaviness-of-head and derangement on-others various
μὲν γὰρ αὐτοῖς ἐπεφέρετο πάθη, ἅπαντα δὲ εἰς ὄλεθρον
indeed for to-them were-brought sufferings all and into destruction
ἀπεκρίνετο. Λευθαρίῳ μὲν οὖν καὶ τῷ οἱ ἑπομένῳ
issued for-Leutharis indeed then and to-the him following
ὁμίλῳ, ἐς τόδε τύχης τὰ τῆς ἐκστρατείας ἐτελεύτα.
throng to this of-fortune the(-things) of-the expedition ended

4 Ἐν ᾧ δὲ ταῦτα ἐν Βενετίᾳ ξυνέβαινε, Βουτιλῖνος
in which and these(-things) in Venetia befell Butilinus
ἄτερος στρατηγός, τὰ μέχρι τοῦ πορθμοῦ τῆς Σικελίας
the-other general the as-far-as the strait — of-Sicily
πολίσματά τε καὶ φρούρια σχεδόν τι ἅπαντα
towns both and fortresses nearly somewhat all
λυμηνάμενος, ἐπανῄει αὖθις ὡς τάχιστα ἰθὺ Καμπανίας
having-ravaged returned again as quickest straight of-Campania
τε καὶ Ῥώμης. ἠκηκόει γὰρ τὸν Ναρσῆν καὶ τὰς
both and of-Rome he-had-heard for — Narses and the
βασιλέως δυνάμεις αὐτοῦ που ἠθροῖσθαι. καὶ
of-(the)-emperor forces there somewhere to-have-been-gathered and
ἠβούλετο μὴ μέλλειν ἔτι μηδὲ ἀλᾶσθαι, ἀλλὰ παντὶ τῷ
wished not to-delay still nor to-wander but with-all the
στρατῷ παραταξάμενος, τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον
army arrayed the for the whole danger
ἀναῤῥίψαι· ἐπεὶ καὶ μέρος τι οὐκ ἐλάχιστον καὶ τῆς ἀμφ᾽
to-throw since also part some not least also of-the about
αὐτὸν στρατιᾶς νόσῳ ἑαλώκει καὶ διεφθείρετο. ἤδη
him army by-disease had-been-seized and was-perishing already
γὰρ τοῦ θέρους λήγοντος, καὶ τοῦ φθινοπώρου ἀρχομένου,
for the summer ending and the autumn beginning
αἱ μὲν ἄμπελοι τῷ καρπῷ ἐβρίθοντο, οἱ δὲ χήτει τῶν
the indeed vines with-the fruit were-laden they and for-want of-the
ἄλλων ἐπιτηδείων, (ἅπαντα γὰρ τῷ Ναρσῇ ἐμφρονέστατα
other provisions all for — by-Narses most-sensibly
προδιήρπαστο,) οἱ δὲ τοὺς βότρυς ἀφαιρούμενοι, καὶ
had-been-plundered-beforehand they and the grapes taking-off and
ταῖς χερσὶ διαθλίβοντες, ἐνεφοροῦντο τοῦ γλεύκους,
with-the hands squeezing were-filled with-the must
αὐτοσχεδιάζοντες τὸν ἀνθοσμίαν. ἐνθένδε τε αὐτοῖς ἡ
improvising the bouquet-wine from-there both for-them the

γαστὴρ ἐπιμέγα ἐφέρετο καὶ διέῤῥει, καὶ τὸ μέν
belly greatly was-borne and flowed-away and the(-part) indeed
τι αὐτῶν ἔθνησκεν αὐτίκα, ἦσαν δὲ οἱ καὶ διεγίγνοντο.
some of-them died at-once were and who also survived
πρίν γε δὴ οὖν καὶ ἅπασιν ἐκνικῆσαι τὸ πάθος,
before at-least indeed then also over-all to-prevail the suffering
ἐδόκει οἱ εἶναι πολεμητέα ἐς ὅ, τι ἐκβαίη.
it-seemed to-him to-be one-must-make-war to what ever it-might-turn-out
καὶ τοίνυν ἀφικόμενος ἐς Καμπανίαν, στρατοπεδεύεται
and therefore having-arrived in Campania encamps
οὐ πόῤῥω Καπύης τῆς πόλεως, ἀμφὶ τὰς ὄχθας τοῦ
not far of-Capua the city about the banks of-the
Κασουλίνου ποταμοῦ. ὃς δὴ ῥέων ἐκ τοῦ ὄρους
Casulinus river which indeed flowing from the mountain
τοῦ Ἀπινναίου, καὶ ἀνὰ τὰ ἐκείνῃ πεδία περιελιττόμενος,
the Apennine and over the there plains winding
ἐς τὴν Τυρσηνικὴν φέρεται θάλατταν. ἐνταῦθα δὴ
to the Tyrrhenian is-borne sea there indeed
οὖν ἱδρύσας τὸν στρατόν, χαράκωμά τε περιεβάλετο
then having-settled the army (a)-stockade both threw-around
καρτερόν, καὶ ἐπεποίθει τῷ χώρῳ· ὁ γὰρ ποταμὸς
strong and trusted in-the place the for river
αὐτῷ ἐν δεξιᾷ ὑποῤῥέων ἀντ᾽ ἐρύματος εἶναι ἐδόκει τοῦ
for-him on right flowing-under instead-of (a)-rampart to-be seemed of-the
μή τινα ἐπιέναι, καὶ τοὺς τῶν ἁμαζῶν τροχούς, ἃς δὴ
not anyone to-attack and the of-the wagons wheels which indeed
ὡς πλείστας ἐπήγετο, στοιχηδὸν ἐς ἀλλήλους ἁρμόσας,
as most he-brought in-a-row to one-another having-fitted
ἐνέπηξε τὰ ὀπίσω τῷ ἐδάφει, ἄχρι καὶ ἐς τὰς πλήμνας
fixed the rear(-parts) in-the ground as-far even as the naves
περιχώσας, ὡς μόνα τὰ ἡμικύκλια ὑπερανέχειν καὶ
having-heaped-around so-that alone the semicircles to-stand-out and

προβεβλῆσθαι. τούτοις δὴ οὖν καὶ ἑτέροις ξύλοις
to-be-thrown-before by-these indeed then and by-other timbers
πολλοῖς ἅπαν τὸ στράτευμα ἐρυμνώσας, ἔξοδόν τινα οὐ
many all the army having-fortified exit some not
μάλα εὐρεῖαν καταλέλοιπεν κενὴν τῶν περιφραγμάτων,
very wide left empty of-the fences
ὡς ἐκ τῆσδε αὐτοῖς ἐξείη ῥᾳδίως ᾗ βούλοιντο
so-that from this to-them it-might-be-possible easily where they-might-wish
κατὰ τῶν πολεμίων ἐφόδους τε καὶ ἐπανόδους ποιεῖσθαι.
against the enemies sallies both and returns to-make
ὅπως δὲ ἂν αὐτῷ μηδὲ τὰ τῆς γεφύρας τοῦ
so-that and — for-him not-even the(-parts) of-the bridge of-the
ποταμοῦ ἀφύλακτα εἴη, μηδέ γε ἐνθένδε πημαίνοιτο,
river unguarded might-be nor at-least from-there he-might-be-harmed
προκαταλαμβάνει τε αὐτήν, καὶ πύργον τινὰ ξύλινον
seizes-first both it and tower some wooden
ἐνταῦθα τεκτηνάμενος, ἐφίστησιν ἐν αὐτῷ ἄνδρας ὁπόσους
there having-built sets in it men as-many-as
οἷόν τε ἦν μαχίμους τε καὶ ἄριστα ὡπλισμένους· ἐφ'
able — was warlike both and best armed on
ᾧ ἐκ τοῦ ἀσφαλοῦς ἀμύνεσθαι, καὶ ἀπερύκειν τοὺς
which from the safety to-defend and to-keep-off the
Ῥωμαίους διαβησείοντας. οὕτω δὲ ἕκαστα διαθείς,
Romans desiring-to-cross thus and each(-thing) having-arranged
ᾤετό οἱ τὰ παρόντα ἐν δέοντι παρεσκευάσθαι, ὡς
thought to-him the present(-things) in need to-have-been-prepared so-that
καὶ ἐν αὐτῷ δή που κεισόμενον πολέμου κατάρχεσθαι,
also in him indeed somehow going-to-lie of-war to-begin
καὶ οὐ πρότερον μάχης ἐσομένης, πρὶν ἂν ἐκείνῳ εἴη
and not earlier battle going-to-be before — to-that-one it-be
βουλομένῳ. καὶ τὰ μὲν ἀμφὶ τῷ ἀδελφῷ ἐν Βενετίᾳ
wishing and the(-things) indeed about the brother in Venetia

ξυμβαίνοντα οὔπω ἐπέπυστο, ἐθαύμαζεν δὲ ὅτι δὴ αὐτῷ
befalling not-yet he-had-learned wondered and that indeed to-him
κατὰ τὸ ξυγκείμενον τὸ στράτευμα οὐκ ἐπεπόμφει· καὶ
according-to the agreement the army not had-sent and
ὑπετόπαζεν, ὡς οὐκ ἂν ἐς τοσοῦτον ἐμέλλησεν, εἰ μή
suspected that not — to so-much he-would-have-delayed if not
τι αὐτοῖς ξυνηνέχθη δεινὸν καὶ ἀντίξουν· πλὴν ἀλλὰ
something to-them had-befallen terrible and adverse except but
καὶ ἐκείνων ἄνευ περιέσεσθαι τῶν πολεμίων ἡγεῖτο,
also those without to-prevail-over the enemies he-thought
ἅτε δὴ τῷ πλήθει καὶ ὡς ὑπερβάλλων. ἐς τρεῖς γὰρ
as indeed in-the number even so exceeding to three for
αὐτῷ μάλιστα μυριάδας μαχίμων ἀνδρῶν ἡ λειπομένη
to-him about myriads of-warlike men the remaining
στρατιὰ ξυνετάττετο· ἡ δὲ τῶν Ῥωμαίων δύναμις μόλις
army was-ranged the and of-the Romans force scarcely
ἐν ὀκτωκαίδεκα χιλιάσιν ἐτύγχανεν οὖσα.
in eighteen thousands happened being
Αὐτός τε δὴ οὖν ὧδέ πως ἄριστα εἶχε προθυμίας, 5
he-himself both indeed then thus somehow best was of-zeal
καὶ ἅπαντι τῷ στρατῷ παρεκελεύετο γιγνώσκειν, ὡς ὁ
and to-all the army exhorted to-know that the
παρὼν ἀγὼν οὐκ ἐπὶ σμικρῷ τινι χωρήσει, "ἀλλ' ἢ
present contest not on small something will-turn but either
καθέξομεν," ἔφη, "τὴν Ἰταλίαν, οὗ δὴ καὶ ἕκατι
we-will-hold he-said — Italy of-which indeed also for-the-sake
ἀφικόμεθα, ἢ λελείψεται ἡμῖν ἅπασιν ἀκλεῶς ἐνθάδε
we-came or it-will-be-left for-us all ingloriously here
τεθνάναι. οὐκοῦν τόδε ἡμᾶς, ὦ γενναῖοι, ἀντ' ἐκείνου
to-have-died therefore this us O noble-ones instead-of that
ἑλέσθαι προσήκει, ἐξὸν ἄνδρας ἀγαθοὺς ἐν τῷ
to-choose is-fitting it-being-possible men good in the

πολέμῳ γιγνομένους, ἀπόνασθαι ὧν ἐφιέμεθα.” Βουτιλῖνος
war becoming to-enjoy what we-aim-at Butilinus
μὲν οὖν ταῦτά τε καὶ τὰ τοιάδε παραινῶν τοῖς
indeed then these(-things) both and the such(-things) exhorting the
πλήθεσιν οὐκ ἀνίει. οἱ δὲ ἐπερῥώννυντο ταῖς ἐλπίσι,
multitudes not ceased they and were-strengthened with-the hopes
καὶ τὰ ὅπλα, ὥς πη ἑκάστῳ φίλον, παρεσκευάζοντο.
and the arms as somehow to-each dear prepared
ὠδὶ μὲν γὰρ πελέκεις ἐθήγοντο πολλοί, ὠδὶ δὲ τὰ
here indeed for axes were-sharpened many there and the
ἐπιχώρια δόρατα, οἱ ἄγγωνες, ἑτέρωθι δὲ τῶν ἀσπίδων
native spears the angons elsewhere and of-the shields
αἱ διερῥωγυῖαι πρὸς τὸ ἐνεργὸν μετεποιοῦντο, καὶ
the(-ones) broken to the serviceable were-remade and
ῥᾳδίως αὐτοῖς ἅπαντα παρεσκεύαστο. λιτὴ γὰρ τοῦδε
easily for-them all had-been-prepared simple for of-this
τοῦ ἔθνους ἡ ὅπλισις, καὶ οἷα οὐ τεχνιτῶν δεῖσθαι
the nation the armament and such-as not of-craftsmen to-need
ποικίλων, ἢ μόνον ὑπ᾽ αὐτῶν οἶμαι τῶν χρωμένων
various than only by them I-think the(-ones) using(-it)
διακοσμεῖσθαι, εἰ καί τι διαφθαρείη. θωράκων μὲν
to-be-put-in-order if even anything should-be-damaged of-breastplates indeed
γὰρ καὶ κνημίδων ἀγνῶτες τυγχάνουσιν ὄντες, τὰς δὲ
for and of-greaves ignorant happen being the and
κεφαλὰς οἱ μὲν πλεῖστοι ἀσκεπεῖς ἔχουσιν, ὀλίγοι δὲ καὶ
heads the indeed most uncovered have few and also
κράνη ἀναδούμενοι μάχονται· γυμνοὶ δὲ τὰ στέρνα εἰσὶ
helmets binding-on fight bare and in-the chests they-are
καὶ τὰ νῶτα μέχρι τῆς ὀσφύος, ἐνταῦθα δὲ ἀναξυρίδας,
and the backs as-far-as the loins there and trousers
οἱ μὲν λινᾶς, οἱ δὲ καὶ σκυτίνας διαζωννύμενοι τοῖς
some indeed linen others and also leather girding-on on-the

σκέλεσι περιαμπίσχονται. ἵπποις δὲ ἥκιστα χρῶνται, πλὴν
legs they-put-around horses and least they-use except
σφόδρα ὀλίγων, ἅτε δὴ αὐτοῖς τὸ πεζομαχεῖν σύντροφόν
very few as indeed to-them the to-fight-on-foot congenial
τε ὂν καὶ πάτριον καὶ ἄριστα μεμελετημένον. ξίφος δὲ
both being and ancestral and best practiced (a)-sword and
τῷ μηρῷ, καὶ ἀσπὶς τῇ λαιᾷ πλευρᾷ παρῃώρηται. καὶ
at-the thigh and (a)-shield at-the left side hangs and
τοίνυν τόξα ἢ σφενδόνας ἢ ἄλλα ἄττα ἐκηβόλα ὅπλα οὐκ
therefore bows or slings or other certain far-shooting arms not
ἐπιφέρονται, ἀλλὰ πελέκεις γὰρ ἀμφιστόμους καὶ τοὺς
they-carry but axes for two-edged and the
ἄγγωνας, οἷς δὴ καὶ τὰ πλεῖστα κατεργάζονται· εἰσὶ
angons with-which indeed also the most they-accomplish are
δὲ οἱ ἄγγωνες δόρατα οὐ λίαν σμικρά, οὐμενοῦν ἀλλ'
and the angons spears not very small nor but
οὐδὲ ἄγαν μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαί τε, εἴπου
not-even too great but as-much-as to-be-hurled both if-somewhere
δεήσοι, καὶ ἐς τὰς ἀγχεμάχους παρατάξεις πρὸς τὰς
it-should-be-needful and into the close-fighting battles for the
ἐμβολὰς ἐφικνεῖσθαι. τούτων δὲ τὸ πλεῖστον μέρος σιδήρῳ
onsets to-reach of-these and the most part with-iron
πάντοθεν περιέχεται, ὡς ἐλάχιστόν τι διαφαίνεσθαι
on-all-sides is-encased so-that least something to-show-through
τοῦ ξύλου, καὶ μόλις ὅλον τὸν σαυρωτῆρα· ἄνω δὲ ἀμφὶ
of-the wood and scarcely whole the butt-spike above and about
τὸ ἄκρον τῆς αἰχμῆς καμπύλαι τινὲς ἀκίδες ἐξέχουσιν
the tip of-the point curved some barbs project
ἑκατέρωθεν ἐξ αὐτῆς δήπου τῆς ἐπιδορατίδος, ὥσπερ
on-each-side from itself surely the spearhead as
ἄγκιστρα ὑπογναπτόμενα, καὶ ἐς τὰ κάτω νενεύκασι.
hooks bent and to the down(-ward) incline

καὶ οὖν ἀφίησι τυχὸν ἐν συμπλοκῇ τοῦτον δὴ τὸν ἄγγωνα
and then lets-fly perhaps in fighting this indeed the angon
Φράγγος ἀνήρ. καὶ εἰ μὲν σώματί που ἐγχρίψειεν,
(a)-Frankish man and if indeed in-(a)-body somewhere it-should-strike
εἰσδύεται μὲν εἴσω, ὥσπερ εἰκός, ἡ αἰχμή, οὔτε δὲ αὐτὸν
enters indeed inside as likely the point neither and himself
τὸν βληθέντα οὔτε ἄλλον τινὰ ἑρύσαι ῥᾳδίως ἔνεστι
the(-one) struck nor other anyone to-draw easily it-is-possible
τὸ δόρυ. εἴργουσι γὰρ αἱ ἀκίδες ἔνδον ἐνεχόμεναι τῇ
the spear prevent for the barbs within held-fast in-the
σαρκί, καὶ πικροτέρας ἐπάγουσαι τὰς ὀδύνας, ὥστε εἰ
flesh and more-bitter bringing the pains so-that if
καὶ μὴ καιρίαν τὸν πολέμιον τρωθῆναι ξυνενεχθείη, ἀλλὰ
even not mortally the enemy to-be-wounded it-should-befall but
ταύτῃ γε διαφθαρῆναι. εἰ δέ γε ἐς ἀσπίδα παγείη,
in-this-way at-least to-perish if and at-least into (a)-shield it-should-stick
ἀποκρέμαται μὲν αὐτίκα ἐξ αὐτῆς, καὶ ξυμπεριάγεται,
hangs indeed at-once from it and is-carried-around
συρομένου ἐν τῷ ἐδάφει τοῦ ἀπολήγοντος· ὁ δὲ
being-dragged on the ground the(-end) ending the and
βληθεὶς οὔτε ἐξελκύσαι τοῦτο δὴ δύναται τὸ δόρυ
struck(-man) neither to-pull-out this indeed is-able the spear
διὰ τὴν εἴσδυσιν τῶν ἀκίδων, οὔτε ξίφει διατεμεῖν,
because-of the entry of-the barbs nor with-(a)-sword to-cut-through
τῷ μὴ ἐφικνεῖσθαι τοῦ ξύλου, ἀλλὰ τὸν σίδηρον
by-the not reaching the wood but the iron
παρατετάσθαι. ἐπειδὰν δὲ τοῦτο ἐσίδοι ὁ Φράγγος, ὁ δὲ
to-extend-along when and this should-see the Frank he and
ἀθρόον ἐπιβὰς τῷ ποδὶ καὶ ἐμπατήσας τὸν σαυρωτῆρα,
all-at-once stepping with-the foot and treading-on the butt-spike
καταβρίθει τὴν ἀσπίδα καὶ κατάγει, ὡς ὑποχαλάσαι τὴν
weighs-down the shield and draws-down so-that to-slacken the

τοῦ φέροντος χεῖρα, καὶ γυμνωθῆναι τὴν κεφαλὴν
of-the(-one) carrying(-it) hand and to-be-bared the head
καὶ τὸ στέρνον. τότε δὴ οὖν αὐτὸν ἄφρακτον ἐκεῖνος
and the chest then indeed then him unguarded that(-man)
ἑλὼν ῥᾳδίως ἀπόλλυσιν, ἢ τὸ μέτωπον πελέκει
having-caught easily destroys either the forehead with-(an)-axe
πατάξας, ἢ δόρατι ἑτέρῳ τὴν φάρυγγα διελάσας.
having-struck or with-(a)-spear another the throat having-driven-through
τοιαύτη μὲν τοῖς Φράγγοις ἡ ὅπλισις, καὶ ἐν τοῖσδε
such indeed for-the Franks the armament and in these
τὰ ἐς τὸν πόλεμον παρεσκευάζοντο.
the(-things) for the war prepared
Ναρσῆς δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπειδὴ ταῦτα 6
Narses and the of-the Romans general when these(-things)
ἐγνώκει, αὐτίκα ὅγε ἅπαντι τῷ στρατῷ ἄρας ἐκ τῆς
learned at-once he with-all the army having-set-out from —
Ῥώμης, στρατοπεδεύεται οὐ πόῤῥω τῶν πολεμίων, ἀλλ᾽
Rome encamps not far from-the enemies but
ὅσον πατάγου τε ἀκούειν, καὶ διορᾶν τὸ χαράκωμα·
as-much-as of-noise both to-hear and to-see-through the stockade
οὕτω δὲ τῶν στρατευμάτων ἀλλήλοις ἀναφανέντων,
thus and the armies to-one-another having-appeared
πολλὴ μὲν ἑκατέρωθεν ὑπῆρχεν παράταξις, πολλαὶ δὲ
much indeed on-each-side was array many and
φρουραί, καὶ ἀγρυπνίαι, καὶ τῶν στρατηγῶν ἀνὰ τὰ
guards and sleeplessnesses and of-the generals among the
πλήθη περινοστήσεις· ἐλπὶς δὲ καὶ δέος καὶ παλιμβολία,
multitudes goings-round hope and also fear and wavering
καὶ ὅσα τοῖς περὶ μεγάλων ἀγωνιουμένοις
and as-many-as for-the(-ones) about great(-things) going-to-contend
παράλογα ἐγγίγνεται πάθη, ἄλλοτε ἄλλοις ἐπεφοίτα·
unaccountable arise passions at-other-times to-others came

τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν ἅπαντα καὶ
the and — of-Italy towns in-suspense were all and
δεδονημένα, ἐφ᾽ οὓς ἂν καὶ χωρήσοιεν ἀμφιγνοοῦντα.
shaken to whom — also they-might-go-over being-in-doubt
ἐν τούτῳ δὲ οἱ Φράγγοι τὰς ἐχομένας κώμας δῃοῦντες,
in this and the Franks the adjoining villages ravaging
τὰ ἐπιτήδεια σφίσιν ἀναφανδὸν διεκόμιζον. Ναρσῆς δὲ
the provisions for-themselves openly conveyed Narses and
τοῦτο ἰδών, αἴσχος οἰκεῖον ἡγεῖτο καὶ ἐχαλέπαινεν,
this having-seen (a)-disgrace own thought and was-angry
εἴγε ἐξείη τοῖς τῶν δυσμενῶν ἀχθοφόροις οὕτω
if-indeed it-should-be-possible for-the of-the foes porters so
δή τοι ἀνειμένους ἐγγύτατα διαπορεύεσθαι, ὥσπερ
indeed surely slackly very-near to-pass-through as
οὐδενότι ἀντίπαλον θεωμένοις. ἐδόκει οὖν αὐτῷ οὐκ
nothing-whatever opposed seeing it-seemed then to-him not
ἐπιτρεπτέα τολοιπόν, ἀλλὰ παντὶ σθένει διακωλυτέον.
one-must-permit the-rest but with-all strength must-be-prevented
Χαράγγης δέ τις ἀνὴρ Ἀρμένιος, ἐνηρίθμητο μὲν τοῖς
Charanges and some man Armenian was-numbered indeed among-the
Ῥωμαϊκοῖς ταξιάρχοις, ἀνδρειότατος δὲ ἦν ἐς τὰ μάλιστα
Roman taxiarchs most-brave and was in the most
καὶ φρενήρης, καὶ ἐν δέοντι φιλοκίνδυνος. τούτῳ δὴ
and sensible and in need risk-loving to-this indeed
οὖν τῷ Χαράγγῃ (ἵδρυτο γὰρ ἀμφὶ τὸ τέρμα τοῦ
then — Charanges was-stationed for about the end of-the
στρατοπέδου πλησιαίτατα τῶν πολεμίων ἐσκηνωμένος,)
camp nearest of-the enemies encamped
παρακελεύεται ὁ Ναρσῆς ἐπιέναι τοῖς ἁμαξελάταις, καὶ
orders — Narses to-attack the wagoners and
σίνεσθαι αὐτοὺς καθ᾽ ὅ, τι ἂν δύναιτο, ὡς ἂν μηκέτι
to-harm them in what ever — he-might-be-able so-that — no-longer

χιλὸν διακομίζειν τολμῷεν. καὶ ὃς ἀθρόον ἐξιππασάμενος
fodder to-convey they-might-dare and he all-at-once having-ridden-out
ἅμα ὀλίγοις τοῦ ἀμφ᾽ αὐτὸν τάγματος, τὰς μὲν ἄλλας
with few of-the about him unit the indeed other
ἁμάξας ἀφαιρεῖται, καὶ τοὺς ἄγοντας κτείνει· μίαν δέ
wagons takes and the(-men) driving kills one and
τινα αὐτῶν χόρτῳ σεσαγμένην ἀγρίῳ τε καὶ γεγηρακότι,
some of-them with-hay loaded wild both and old
προσάγει τῷ πύργῳ, ὃν δὴ ἐπὶ τῆς γεφύρας οἱ
brings-up to-the tower which indeed on the bridge the
Φράγγοι ἐτύγχανον ἐξειργασμένοι, ᾗπέρ μοι εἴρηται
Franks happened having-built as-very by-me has-been-said
πρότερον. καὶ οὖν ἐνταῦθα προσπελάσας τὴν ἅμαξαν,
before and then there having-brought-near the wagon
πῦρ ἐμβάλλει τῷ χόρτῳ, μεγίστης δὲ φλογὸς ἐξαπίνης
fire throws-in to-the hay greatest and flame suddenly
ἀρθείσης, ῥᾳδίως ἅπασα ἡ τύρσις ἐνεπίμπρατο, ἅτε δὴ
having-risen easily all the tower was-set-on-fire as indeed
ξύλοις ἐσκευασμένη. οἱ δὲ ἄνδρες τῶν βαρβάρων ὁπόσοι
with-timbers built the and men of-the barbarians as-many-as
ἐπὶ φρουρᾷ ἐτετάχατο, ἐπειδὴ ἀμύνεσθαι οὐκ ἠδύναντο,
on guard had-been-posted when to-defend not they-were-able
ἀλλ᾽ ἤδη που καὶ αὐτοὶ πυρπολεῖσθαι ἤμελλον,
but already somehow also they-themselves to-be-burned were-going
ἔγνωσαν μεθεῖναι τὸ χωρίον, καὶ οἱ μὲν μόλις ἐνθένδε
resolved to-let-go the place and they indeed scarcely from-there
διεκπεσόντες ἐπὶ τὸ σφῶν στρατόπεδον καταφεύγουσιν·
having-escaped to the their camp flee
οἱ δὲ Ῥωμαῖοι τῆς γεφύρας ἐγκρατεῖς ἐγεγένηντο.
the and Romans of-the bridge masters had-become

Τούτων δὲ οὕτω ξυνενεχθέντων, αὐτίκα οἱ Φράγγοι
these and thus having-happened at-once the Franks
ταραχῆς, ὡς τὸ εἰκός, ἐνεπίμπλαντο, καὶ πρὸς τὰ
with-confusion as the likely were-filled and to the
ὅπλα ἐχώρουν. σφαδάζοντες τῷ θυμῷ καὶ λυττῶντες,
arms went quivering with-the passion and raging
κατέχειν τε ἐν ἑαυτοῖς τὰ φρονήματα οὐκ ἠδύναντο, ἀλλὰ
to-restrain both in themselves the spirits not they-were-able but
τολμητίαι γε ἦσαν πέρα τοῦ μετρίου καὶ θαῤῥαλέοι, ὡς
daring at-least they-were beyond the measure and bold so-as
μηκέτι ἠρεμεῖν ἐθέλειν μήδε διαμέλλειν, ἀλλ᾽ αὐθημερὸν
no-longer to-keep-quiet to-wish nor to-delay but on-the-same-day
παρατάττεσθαι· καὶ ταῦτα προειρημένον αὐτοῖς ὑπὸ τῶν
to-be-arrayed and that having-been-foretold to-them by the
Ἀλαμανικῶν μάντεων, μὴ δεῖν ἐκείνης τῆς ἡμέρας
Alamannic seers not to-be-needful on-that the day
διαμάχεσθαι, ἢ γιγνώσκειν ὡς ἅρδην ἅπαντες ἀπολοῦνται.
to-fight-it-out or to-know that utterly all they-will-perish
οἶμαι μὲν οὖν εἰ καὶ τῇ ὑστεραίᾳ ἢ καὶ καθ᾽ ἑτέραν ἡ
I-think indeed then if even on-the next-day or also on another the
ξυμβολὴ ἐγεγόνει, πάντως ἂν τοῦτο ἐκεῖνο ἐπεπόνθεσαν,
engagement had-taken-place wholly — this that they-would-have-suffered
ὅπερ καὶ ἐν τῷ τότε ἀπέβη. οὐ γὰρ δή που ἡ τῆς
which-very also in the then turned-out not for indeed somehow the of-the
ἡμέρας ἐναλλαγὴ ἀπέχρησεν ἂν αὐτοῖς ἐς τὸ μὴ οὐχὶ
day change would-have-sufficed — for-them for the not not
ποινὰς ἀποτίσαι ὧν ἐτύγχανον ἠσεβηκότες. πλὴν ἀλλ᾽
penalties to-pay for-what they-happened having-impiously-done except but
ὅμως εἴτε οὕτω ξυμβάν, εἴτε καὶ ἴσως τῶν Ἀλαμανικῶν
nevertheless whether so having-befallen or also perhaps the Alamannic
χρησμολόγων ὅτῳ δὴ οὖν τρόπῳ τὰ ἐσόμενα
oracle-mongers in-what indeed then manner the(-things) going-to-be

ἐπιφρασαμένων, οὐ κενὸν τοῖς πολλοῖς οὐδὲ ἀτελεύτητον
having-perceived not empty to-the many nor unfulfilled
ἔδοξεν εἶναι τὸ μάντευμα. ὅπως δὲ τῶν ἐφεξῆς ἕκαστα
seemed to-be the prophecy how and of-the(-things) following each
ἐπράχθη, αὐτίκα ἐς τὸ ἀκριβὲς ὡς οἷόν τέ μοι λελέξεται.
was-done at-once to the exact as able — by-me will-be-told

VI · THE BATTLE OF THE CASULINUS

Narses draws up his line with horsemen on the wings. The Franks charge in a wedge and break through the center, but the wings close around them, the horse-archers shoot them in the back, and Sindual's Eruli, arriving late, close the gap; nearly the whole army perishes. Agathias calls the victory unmatched and the Franks' fate a judgment on their sacrilege. The Romans bury their dead, strip the field, and celebrate in Rome, and Narses warns his men against arrogance in success.

Ὁ μὲν γὰρ τῶν Φράγγων λεὼς ὧδέ πως εἶχεν ὁρμῆς, 7
the indeed for of-the Franks host thus somehow was of-impulse
καὶ ἤδη αὐτοῖς τὰ ὅπλα μετεκεχείριστο. ἐξώπλισε
and already for-them the arms had-been-taken-in-hand armed
δὲ καὶ ὁ Ναρσῆς τοὺς Ῥωμαίους, καὶ ὑπεξῆγε τοῦ
and also — Narses the Romans and led-out from-the
στρατοπέδου, ἐφ᾽ ᾧ ἐν μεταιχμίῳ γενέσθαι, οὗπερ
camp on which in no-man's-land to-come where-very
ἔδει αὐτοὺς ἐς φάλαγγα καταστῆναι. ἐν ᾧ δὲ
it-was-needful them into (a)-phalanx to-form in which and
τὸ στράτευμα ἐκεκίνητο, καὶ ἤδη ὁ στρατηγὸς
the army had-been-set-in-motion and already the general
τῷ ἵππῳ ἐπεβεβήκει, ἀγγέλλεταί οἱ, ὡς Ἔρουλύς τις
the horse had-mounted it-is-reported to-him that Erulian some

ἀνὴρ οὐ τῶν πολλῶν παρ᾽ αὐτοῖς καὶ διαλανθανόντων,
man not of-the many among them and obscure
ἀλλ᾽ εὐπατρίδης ἐν τοῖς μάλιστα καὶ ἀρίδηλος, ἕνα τῶν
but well-born in the most and conspicuous one of-the
οἰκείων θεραπόντων ἀπεκτονὼς εἴη οἰκτρότατα ἐφ᾽
own servants having-killed might-be most-piteously for
ὁτῳοῦν καὶ σφαλέντα. αὐτίκα δὴ οὖν ἐπισχὼν τῷ
any-whatever also having-erred at-once indeed then having-checked with-the
ῥυτῆρι τὸν ἵππον, παράγει ἐς μέσον τὸν ἀνδροφόνον, ὡς
rein the horse brings-forward into middle the man-slayer as
οὐχ ὅσιον ὂν ἐπὶ τὸν πόλεμον ἰέναι πρὶν ἀπολυμήνασθαι
not holy being to the war to-go before to-purify-oneself
καὶ ἀφαγνίσαι τὸ μίασμα. ἐπεὶ δὲ αὐτῷ πυνθανομένῳ
and to-expiate the pollution when and to-him inquiring
τὸ πραχθὲν ἀνωμολόγει ὁ βάρβαρος καὶ οὐκ
the(-thing) done admitted the barbarian and not
ἀνῄνετο, τοὐναντίον μὲν οὖν καὶ ἐφετὸν εἶναι ἔφασκε
denied the-contrary indeed then also allowed to-be he-said
τοῖς κεκτημένοις τοὺς σφετέρους δούλους ᾗ βούλονται
for-the possessors the their-own slaves as they-wish
μετιέναι, ὅτι τε καὶ οἱ ἕτεροι, εἰ μὴ σωφρονοῖεν, ἀλλὰ
to-treat that both also the others if not they-should-be-sensible but
γὰρ καὶ οἵδε παραπλήσια πείσονται· ἐπειδὴ οὖν ὥσπερ
for also these like(-things) will-suffer since then as
οὐ μεταμέλον αὐτῷ τῆς παροινίας, θρασύς γε ἦν ἔτι
not repenting him of-the drunken-outrage bold at-least he-was still
καὶ ὑψαγόρας καὶ λίαν φρονοῦντι ἐῴκει, παρακελεύεται
and boastful and very proud he-seemed orders
ὁ Ναρσῆς τοῖς δορυφόροις ἀποκτεῖναι τὸν ἄνδρα. καὶ
— Narses the guards to-kill the man and
ὁ μὲν ξίφει τὴν λαπάραν διατορηθεὶς ἐτεθνήκει. ὁ
he indeed with-(a)-sword the flank pierced died the

δὲ τῶν Ἐρούλων ὅμιλος, οἷα δὴ βάρβαροι, ἠνιῶντο
and of-the Eruli throng as indeed barbarians were-grieved
καὶ ἐχαλέπαινον, καὶ ἀπόμαχοι ἔσεσθαι διενοοῦντο.
and were-angry and unfit-to-fight to-be intended
ὁ δὲ Ναρσῆς οὕτω πως τὸ τῆς μιαιφονίας ἄγος
— and Narses thus somehow the of-the bloodshed pollution
ἀποδιοπομπησάμενος, καὶ τῶν Ἐρούλων ὀλίγα φροντίσας,
having-averted and of-the Eruli little having-cared
ἐχώρει ἀνὰ τὴν παράταξιν, ἀνειπὼν ἐν κοινῷ καὶ
went along the array having-proclaimed in common and
ἀναβοήσας, ὡς ὅ γε βουλόμενος τῆς νίκης μεταλαχεῖν,
having-shouted that he at-least wishing of-the victory to-share
ξυνεπέσθω. οὕτω δή τι ἄρα διαφανῶς ἐπεποίθει τῇ
let-follow so indeed somewhat then clearly he-trusted in-the
τοῦ κρείττονος ἐπικουρίᾳ, καὶ ὡς ἐπὶ προδιεγνωσμένοις
of-the stronger(-power) help and as to foreknown(-things)
ἐφοίτα. Σίνδουαλ δέ, ὁ τῶν Ἐρούλων ἡγεμών, αἰσχρόν
he-went Sindual and the of-the Eruli leader shameful
τι εἶναι ἡγεῖτο καὶ ἀγεννές, εἴ γε πολέμου τοσούτου
something to-be thought and ignoble if at-least war so-great
ξυνεστηκότος, αὐτός τε καὶ ὁ ἀμφ᾽ αὐτὸν στρατὸς
having-arisen he-himself both and the about him army
λειποταξίου ἁλοῖεν, δόξοιέν τε τῷ μὲν ἔργῳ
of-desertion should-be-convicted should-seem both in-the indeed deed
δεδιέναι τοὺς πολεμίους, σκῆψιν δέ τινα καὶ προκάλυμμα
to-fear the enemies pretext and some and screen
τῆς δειλίας τὴν περὶ τὸν τεθνεῶτα εὔνοιαν πεποιῆσθαι.
of-the cowardice the about the dead(-man) goodwill to-have-made
οὔκουν ἠρεμεῖν ἀνασχόμενος ἐσήμαινε τῷ Ναρσῇ
not to-keep-quiet enduring signaled — to-Narses
ἀναμένειν, ὡς καὶ αὐτῶν ὅσον οὔπω παρεσομένων· ὁ
to-wait as also them as-much not-yet going-to-be-present he

δέ, μενετέα μὲν οὐκ ἔφη, μελήσειν δὲ ὅμως αὐτῷ
and one-must-wait indeed not he-said to-be-a-care and nevertheless to-him
ὅπως ἂν ἐν δέοντι καὶ οἵδε τάξαιντο, εἰ καὶ ὀλίγῳ
that — in need also these might-be-ranged if even (a)-little
ὕστερον τύχοιεν ἀφιγμένοι· οἱ μὲν οὖν Ἔρουλοι εὖ
later they-should-happen having-arrived the indeed then Eruli well
μάλα ἐξωπλισμένοι, ἐπορεύοντο βάδην ἐν κόσμῳ.
very fully-armed marched at-a-walk in order
8 Ναρσῆς δὲ ἐπεὶ ἐν τῷ χάρῳ ἐγεγόνει, οὗ δὴ
Narses and when in the place had-come where indeed
συμπλέκεσθαι ἔμελλεν, αὐτίκα ἐς φάλαγγα καθίστη τὸν
to-engage he-was-going at-once into (a)-phalanx set the
στρατὸν καὶ διέταττεν. οἱ μὲν οὖν ἱππεῖς ἑκατέρωθεν
army and arranged the indeed then horsemen on-each-side
ἐπὶ τῶν ἄκρων ἐτετάχατο, δοράτια φέροντες καὶ πέλτας,
on the extremes had-been-ranged javelins carrying and light-shields
τόξα τε καὶ ξίφη παρῃωρημένα· ἦσαν δὲ οἳ καὶ
bows both and swords hung-beside were and who also
σαρίσσας ἐκράτουν. αὐτὸς δὲ ἐπὶ τοῦ δεξιοῦ κέρως
pikes held he-himself and on the right wing
εἱστήκει. Ζανδαλᾶς τε, ὁ τῶν ὀπαδῶν ἐπιστάτης, τοῦ τε
stood Zandalas both the of-the attendants chief of-the both
θητικοῦ καὶ οἰκετικοῦ ὁπόσον οὐκ ἀπόλεμον ἦν, ἀλλὰ καὶ
menial and domestic as-much-as not unfit-for-war was but also
οἵδε παρῆσαν. ἐπὶ θάτερα δὲ οἱ ἀμφὶ Βαλεριανόν
these were-present on the-other-side and the(-men) about Valerian
τε καὶ Ἀρταβάνην, προστεταγμένον αὐτοῖς ὑποκρύπτεσθαι
both and Artabanes it-having-been-ordered to-them to-hide-themselves
πρὸς βραχὺ ἀνὰ τὰ λάσια τῆς νάπης, καὶ ἐπειδὰν
for (a)-short(-time) in the thickets of-the glen and whenever
εἰσβάλλοιεν οἱ πολέμιοι, τότε δὴ ἀθρόον αὐτοῖς ἐκ τοῦ
should-charge the enemies then indeed all-at-once on-them from the

ἀφανοῦς ἐπιέναι, καὶ ἀμφιβόλους ποιεῖσθαι. ἅπασαν δὲ
unseen to-attack and caught-both-ways to-make(-them) all and
τὴν μεταξὺ χώραν ὁ πεζὸς εἶχεν. ἔμπροσθεν μὲν γὰρ
the between space the foot-soldiers held in-front indeed for
ἐπὶ τοῦ μετώπου οἱ πρωτοστάται θώρακας ποδήρεις
on the front the front-rankers breastplates reaching-the-feet
ἐνειμένοι καὶ κράνη καρτερώτατα τὸν συνασπισμὸν
wearing and helmets strongest the locked-shields
ἐπεποίηντο· ἐξῆς δὲ οἱ ἄλλοι ἐς βάθος ἀλλήλοις ἐνέκειντο,
had-made next and the others in depth one-another pressed
ἕως εἰς τοὺς οὐραγοὺς ὁ ξυλλοχισμὸς ἐτελεύτα· τὸ δὲ
until at the rearmost the files ended the and
ψιλὸν ἅπαν καὶ ἑκηβόλον, ὄπισθεν περιέθει καὶ ἀνέμενεν
light all and far-shooting behind ran-around and waited-for
τὸν καιρόν, ἡνίκα δέοι ἀκροβολίζεσθαι. ἀπεκέκριτο
the moment when it-should-be-needful to-skirmish had-been-set-apart
δὲ τόπος τοῖς Ἐρούλοις, τῆς φάλαγγος τὸ μεσαίτατον,
and (a)-place for-the Eruli of-the phalanx the very-middle
καὶ ἦν ἔτι κενός, οὐ γάρ πω ἐκεῖνοι παρῆσαν. ἐν
and it-was still empty not for yet those were-present in
τούτῳ δὲ ἄνδρες δύο τῶν Ἐρούλων, ἐτύγχανον γὰρ ἤδη
this and men two of-the Eruli happened for already
ἠὐτομοληκότες παρὰ τοὺς πολεμίους ὀλίγῳ ἔμπροσθεν, ὡς
having-deserted to the enemies (a)-little before so-as
καὶ ἀγνοεῖν δή που τὰ ὕστερον τῷ Σίνδουαλ
also to-be-ignorant-of indeed somehow the(-things) later — by-Sindual
βεβουλευμένα, ἐξωτρυνέτην ἅπαντας τοὺς βαρβάρους ὡς
decided urged all the barbarians as
τάχιστα ἐπιφοιτᾷν τοῖς Ῥωμαίοις· "εὑρήσετε γὰρ αὐτούς,"
quickest to-come-upon the Romans you-will-find for them
ἐφάτην, "ταραχῆς τε καὶ ἀκοσμίας ἀναπεπλησμένους, τοῦ
said with-confusion both and disorder filled the

μὲν Ἐρουλικοῦ στρατοῦ χαλεπαινόντων καὶ ξυγκινδυνεύειν
indeed Erulian army being-angry and to-share-the-danger
ἀναινομένων, τοῦ δὲ ἄλλου πλήθους τῇ ἐκείνων
refusing the and other multitude at-the their
ἀποστάσει καταπεπληγμένου". τούτοις δὲ ὁ Βουτιλῖνος
defection struck-with-terror by-these and — Butilinus
ἀνεπέπειστο ῥᾳδίως, τῷ βούλεσθαι, οἶμαι, ἀληθῆ γε
was-persuaded easily by-the to-wish I-think true at-least
αὐτὰ καθεστάναι. αὐτίκα δὴ οὖν ἐπῆγε τὸν στρατόν, καὶ
them to-be at-once indeed then he-led-on the army and
ἅπαντες ξὺν προθυμίᾳ ἐχώρουν ἰθὺ τῶν Ῥωμαίων, οὐ
all with zeal went straight at-the Romans not
μὴν ἠρεμαῖοι, οὐδὲ κατὰ κόσμον, ἀλλὰ τοῖς ἀγγέλμασιν
however quietly nor in order but by-the reports
ἀνεπτερωμένοι, θορύβῳ εἴχοντο καὶ προπετείᾳ, ὡς
given-wings by-din were-gripped and by-rashness as
αὐτοβοεὶ ἅπαν τὸ ἀντιστατοῦν ἀναρπασόμενοι. ἦν
at-the-first-shout all the opposing going-to-seize was
δὲ αὐτοῖς ἡ ἰδέα τῆς παρατάξεως, οἱονεὶ ἔμβολον·
and for-them the form of-the array as-it-were (a)-wedge
δελτωτῷ γὰρ ἐῴκει, καὶ τὸ μὲν ἐμπρόσθιον, ὁπόσον ἐς
to-a-delta for it-was-like and the indeed front as-much-as to
ὀξὺ ἔληγεν, στεγανόν τε ἦν καὶ πεπυκνωμένον τῷ
(a)-point ended close both was and dense by-the
πάντοθεν ταῖς ἀσπίσι περιπεφράχθαι, φαίης τε ἂν
on-all-sides with-the shields to-have-been-fenced-around you-would-say both —
αὐτοὺς συὸς κεφαλὴν τῇ συνθέσει ἀποτυπώσασθαι·
them of-(a)-boar (the)-head by-the arrangement to-have-modeled
τὰ δὲ σκέλη ἑκατέρωθεν κατὰ στίχους τε καὶ λόχους
the and legs on-each-side by rows both and companies
ἐς βάθος ξυγκείμενα, καὶ ἐπιπλεῖστον ἐς τὸ ἐγκάρσιον
in depth set and for-most to the oblique

παρατεταμένα, διΐστατο ἀλλήλων ἠρέμα καὶ ἀπεκέκριτο,
extended stood-apart from-one-another gently and were-separated
καὶ προϊόντα ἐς μέγιστον εὖρος ἀπετελεύτα, ὡς καὶ τὸ
and advancing to greatest breadth ended so-that also the
μεταξὺ χωρίον κενὸν καθεστάναι, καὶ τὰ νῶτα γυμνὰ
between space empty to-stand and the backs bare
τῶν ἀνδρῶν στοιχηδὸν διαφαίνεσθαι. ἀπεστραμμένοι γὰρ
of-the men in-rows to-show-through turned-away for
σφᾶς αὐτοὺς ἐτύγχανον, ὅπως ἂν τοῖς μὲν πολεμίοις
them selves they-happened so-that — to-the indeed enemies
ἀντιπρόσωποι εἶεν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀγωνίζοιντο
facing they-might-be and from the safety might-fight
τὰς ἀσπίδας προβεβλημένοι, τὰ δὲ ὀπισθίδια τῷ
the shields holding-before the and rear(-parts) by-the
ἀλλήλοις ἀντιτετάχθαι διαφυλάττοιντο.
to-one-another to-be-set-against might-guard
Ἀλλὰ γὰρ τῷ Ναρσῇ, τύχης τε αἰσίας κυρήσαντι, καὶ τὸ 9
αὐτοῦ που ὁ Καῖσαρ ἐν τῷ τότε πρός τι τῶν ἐθνῶν
there somewhere — Caesar in the then against one of-the nations
διαμαχόμενος,) ἀγγεῖλαί τέ οἱ τὰ ξυνενεχθέντα,
fighting to-report and to-him the(-things) having-befallen
καὶ οὕτως ἑλεῖν τὸν βασιλέα, ὡς αὐτίκα δὴ μάλα
and so to-win-over the emperor that at-once indeed very
ὑπατικοὺς ἑπτὰ τῶν ἐν τοῖς μάλιστα εὐπατριδῶν τε
consulars seven of-the among the most well-born both
καὶ εὐδαιμόνων ἀνδρῶν ἐκ τῆς Ῥώμης ἀπολεξάμενον,
and wealthy men from — Rome having-chosen
ἅμα τῷ σφετέρῳ πλήθει στεῖλαι ἐς τὴν ἀποικίαν, καὶ
with the their-own retinue to-send to the colony and

τούς, ὡς τάχιστα ἐν τῷ χώρῳ γενομένους, χρήματά
them as quickest in the place having-come money
τε πλεῖστα ὅσα ἐπιδόντας καὶ σπουδῇ χρησαμένους,
both most as having-given and zeal having-used
ἀναδομῆσαι αὖθις τὴν πόλιν, καὶ ἐς τὸ μέχρι τοῦδε
to-rebuild again the city and to the till this
σωζόμενον ἀπεργάσασθαι σχῆμα. νῦν οὖν οἱ ἐκείνῃ ἀστοὶ
preserved to-finish form now then the there citizens
Πελασγοὶ μὲν οὐκέτι ἂν δικαίως κληθεῖεν, Ῥωμαῖοι
Pelasgians indeed no-longer — justly would-be-called Romans
δὲ μᾶλλον, εἰ καὶ τὰ τῆς φωνῆς ἐς τὸ ἑλληνικόν τε
and rather if even the of-the speech to the Greek both
καὶ ἀττικώτερον μετεβάλοντο. πῶς γὰρ οὐκ ἤμελλον
and more-Attic they-changed how for not were-they-going-to
προσοικοῦντες τὴν Ἰωνίαν; ταῦτα δὲ οὕτω ξυνενεχθῆναι
living-near — Ionia these(-things) and so to-have-happened
δηλοῖ μέν που καὶ ἡ πάτριος τοῦ ἄστεος ἱστορία,
shows indeed somewhere also the ancestral of-the town history
οὐχ ἥκιστα δὲ τοὐπίγραμμα, ὅπερ ἔγωγε ἐκεῖσε ἐλθὼν
not least and the-inscription which-very I there having-come
ἀνελεξάμην. ἔν τινι γὰρ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν, ὅθεν
read in one for of-the about the city fields whence
δὴ ὢν ἐτύγχανεν ὁ Χαιρήμων, (Σιδηροῦς δὲ ὄνομα
indeed being happened — Chaeremon Siderus and name
τῷ ἀγρῷ ἐκείνῳ,) βωμὸς ἵδρυται ἀρχαιότατος, ἐν ᾧ
to-the field that altar is-set-up most-ancient on which
δὴ πάλαι, ὡς ἔοικε, τοῦ Χαιρήμονος ἄγαλμα ἐφειστήκει.
indeed of-old as it-seems — of-Chaeremon statue had-stood
νῦν γὰρ οὐδὲν ὁτιοῦν ἐν αὐτῷ φαίνεται. ἐγκεχάρακται
now for nothing whatever on it appears is-engraved
δὲ ὅμως ἔτι τὸ ἐλεγεῖον τῷ βωμῷ ὧδέ πως ἔχον·
and nevertheless still the elegiac-poem on-the altar thus somehow standing

Κλασθείσας πάτρας σεισμῷ ποτε, Κάνταβριν ἐς γᾶν
broken fatherland by-earthquake once Cantabrian to land
Χαιρήμων ἔπτα, πατρίδα ῥυσόμενος.
Chaeremon flew fatherland going-to-rescue
Καίσαρι δ' εἰλιχθεὶς περὶ γούνασι, τὰν μεγάλαυχον
to-Caesar and having-clung around knees the proud
Ὄρθωσε Τράλλιν, τὰν τότε κεκλιμέναν·
raised-up Tralles the then laid-low
Ἀνθ' ὧν συγγενέες τοῦτο βρέτας, ὄφρ' ἐπὶ βωμῷ,
for which kinsmen this image so-that on altar
Οἷα δίκα κτίσταν, τάνδε φέροιτο χάριν.
as just founder this he-might-win favor

καὶ τὰ μὲν τῶν Τράλλεων πέρι ὧδέ πως ἔχειν
and the(-things) indeed — of-Tralles about thus somehow to-be
πεπίστευται. πολλὰς δὲ κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ
is-believed many and at that of-the time also
ἄλλας πόλεις ἐν τῇ Ἀσίᾳ, Ἰωνικάς τε καὶ Αἰολίδας,
other cities in — Asia Ionian both and Aeolian
παραπλήσια παθεῖν ξυνηνέχθη.
similar(-things) to-suffer it-befell
18 Πλὴν ἀλλ' ἔμοιγε νῦν τὰ τοιαῦτα παρέντι, καὶ αὖθις
except but for-me now the such(-things) having-let-go and again
τοῦ προτέρου λόγου ἐχομένῳ, ἐπὶ τὴν τῶν Λαζῶν
to-the former account holding to the of-the Lazi
χώραν καὶ τοὺς Περσικοὺς πολέμους ἰτέα, ἐπεὶ καὶ
land and the Persian wars one-must-go since also
κατὰ τοὺς αὐτοὺς χρόνους ἐπράσσετο ἕκαστα. Ῥωμαίοις
in the same times were-done each-thing for-Romans
γὰρ καὶ Πέρσαις ἤδη μὲν ἐκ πλείστου μέγιστος
for and Persians already indeed from longest greatest

πόλεμος ξυνειστήκει, καὶ θαμὰ τὴν ἀλλήλων ἐδῄουν καὶ
war had-arisen and often the of-one-another ravaged and
ἐλυμαίνοντο, νῦν μὲν εἰσβολὰς ἀκηρύκτους μηχανώμενοι
maltreated now indeed incursions unannounced contriving
καὶ ἐφόδους, νῦν δὲ πολλῷ στρατῷ ἐς ἐμφανεῖς
and attacks now and with-great army to open
παρατάξεις χωροῦντες. ὀλίγῳ δὲ ἔμπροσθεν ἐκεχειρίαν
pitched-battles going little and before truce
ἐπεποίηντο, ἐφ᾽ ᾧ μέντοι οὐ τελεωτάτην ἄγειν εἰρήνην,
they-had-made on which however not most-complete to-keep peace
οὐδὲ ὥστε πάντοθι τῶν κινδύνων πεπαῦσθαι, ἀλλ᾽ ὅσον
nor so-as everywhere from-the dangers to-have-ceased but so-much
μόνον ἀνὰ τὴν ἕω καὶ τὰ τῆς Ἀρμενίας ὅρια ἑκατέρῳ
only throughout the east and the — of-Armenia borders for-each
γένει ἐσπεῖσθαι, ἀμφὶ δὲ τὴν Κολχίδα γῆν τὸν πόλεμον
nation to-be-at-truce about and the Colchian land the war
διαφέρειν. οἱ δὲ Λαζοὶ Κόλχοι τοπαλαιὸν ὠνομάζοντο,
to-carry-on the and Lazi Colchians of-old were-named
καὶ οὗτοι ἐκεῖνοι τυγχάνουσιν ὄντες. τοῦτό τε οὐκ ἄν
and these those happen being this and not —
τις ἀμφιγνοήσειε τεκμαιρόμενος τῷ τε Φάσιδι καὶ
anyone would-doubt judging by-the both Phasis and
Καυκάσῳ καὶ τῇ περὶ ταῦτα ἐκ πλείστου οἰκήσει.
(the)-Caucasus and the about these(-things) from longest dwelling
λέγεται δὲ τοὺς Κόλχους Αἰγυπτίων εἶναι ἀποίκους. φασὶ
it-is-said and the Colchians of-Egyptians to-be colonists they-say
γὰρ πολλῷ ἔμπροσθεν τοῦ ἐπίπλου τῶν ἀμφὶ τὸν Ἰάσονα
for much before the voyage of-the about — Jason
ἡρώων, καὶ πρό γε τῆς τῶν Ἀσσυρίων ἐπικρατείας
heroes and before at-least the of-the Assyrians dominion
καὶ τῶν Νίνου τε καὶ Σεμιράμιδος χρόνων Σέσωστρίν
and the of-Ninus both and of-Semiramis times Sesostris

τινα βασιλέα Αἰγύπτιον μεγίστην στρατιὰν ἐκ [τῶν]
some king Egyptian greatest army from the
ἐπιχωρίων ἀγείραντα, καὶ ἅπασαν τὴν Ἀσίαν ἐπελθόντα
natives having-gathered and all — Asia having-overrun
καὶ καταστρεψάμενον, ἀλλὰ καὶ ἐν τῷδε ἀφικέσθαι τῷ
and having-subdued but also in this to-have-come the
χώρῳ, ἀπόμοιράν τε ἐνταῦθα καταλιπεῖν τοῦ ὁμίλου, καὶ
land portion and there to-have-left of-the host and
τοίνυν ἐνθένδε τὸ τῶν Κόλχων κατάγεσθαι γένος. τοῦτο δὲ
therefore thence the of-the Colchians to-descend race this and
Διόδωρός τέ φησιν ὁ Σικελιώτης καὶ ἄλλοι ὡς πλεῖστοι
Diodorus both says the Sicilian and others as most
τῶν παλαιῶν ἱστοριογράφων. οἳ δὴ οὖν, εἴτε Λαζοί,
of-the ancient historians who indeed then whether Lazi
εἴτε Κόλχοι, εἴτε Αἰγύπτιοι μετανάσται, περιμάχητοι
or Colchians or Egyptian migrants fought-over
ἐν τῷ καθ' ἡμᾶς γεγένηνται χρόνῳ, καὶ πλεῖστοι ὅσοι
in the in us have-become time and most as
ἀγῶνες τῆς τούτων γε ἕκατι καταβέβληνται χώρας.
contests the of-these at-least for-the-sake-of have-been-waged land
Χοσρόης τε γὰρ ὁ Περσῶν βασιλεὺς ἤδη πολλὰ καὶ
Chosroes both for the of-Persians king already many and
ἐπικαιρότατα τῶν ἐκείνῃ χωρίων σφετερισάμενος καὶ
most-strategic of-the there places having-appropriated and
κατέχων, οὐκ ᾤετο δεῖν μεθιέναι, ἀλλὰ καὶ τὰ λοιπὰ
holding not thought it-needful to-let-go but also the rest
χειρώσασθαι διενοεῖτο, Ἰουστινιανῷ τε τῷ Ῥωμαίων
to-subdue intended to-Justinian and to-the of-Romans
αὐτοκράτορι καταπροέσθαι Γουβάζην τὸν Λαζῶν ἐν τῷ
autocrat to-abandon Gubazes the of-Lazi in the
τότε βασιλέα, καὶ ἅπαν τὸ ἔθνος, κατηκόους ὄντας καὶ
then king and all the nation subjects being and

εὔνους καὶ τὰ ἐς θεὸν ὁμογνώμονας, οὐκ ἀνεκτὰ
loyal and the(-things) toward God like-minded not bearable
ἐδόκει οὐδὲ ὅσιον. μᾶλλον μὲν οὖν καὶ ἐπειρᾶτο παντὶ
seemed nor holy rather indeed then also he-tried with-all
σθένει ἀπώσασθαι ὡς τάχιστα τοὺς πολεμίους. ἐλογίζετο
strength to-drive-off as quickest the enemies he-reckoned
γὰρ καὶ ἐδεδίει, ὡς εἰ τῷ πολέμῳ κρατήσαιεν οἱ Πέρσαι,
for and feared that if in-the war should-prevail the Persians
καὶ ἁπάσης ἐπιλάβοιντο τῆς χώρας, οὐδὲν ἔσται τὸ κωλύον
and all should-seize the land nothing will-be the hindering
αὐτοὺς ἀνὰ τὸν Εὔξεινον πόντον ἀδεῶς ναυτιλλομένους,
them over the Euxine sea fearlessly sailing
τὰ ἐνδότατα τῆς Ῥωμαίων ἀρχῆς ἀνιχνεύειν. τοιγάρτοι
the innermost(-parts) of-the of-Romans empire to-track-down therefore
στράτευμά τε μέγιστον καὶ ἀλκιμώτατον ἐνταῦθα ἔταξεν,
army both greatest and most-valiant there posted
καὶ στρατηγοὺς ἐπέστησεν τοὺς ἀρίστους. Βέσσας τε
and generals set-over the best Bessas both
γὰρ καὶ Μαρτῖνος καὶ Βούζης ἡγεῖτο, ἄνδρες ἐν τοῖς
for and Martinus and Buzes led men among the
μάλιστα γεγενημένοι καὶ πολέμους συχνοὺς ἀγωνισάμενοι.
most having-been and wars many having-fought
ἔσταλτο δὲ καὶ Ἰουστῖνος ὁ Γερμανοῦ, νεάζων μὲν
had-been-sent and also Justinus the of-Germanus being-young indeed
ἔτι κομιδῇ, τὰ δὲ πολέμια ἤδη πεπαιδευμένος.
still quite the and warlike(-things) already trained

Agathias resumes where Procopius left off. Mermeroes feigns his own death, lulls the Romans at Telephis, and drives them back to the Island. At Ollaria he jeers at the Romans' cowardice, then bridges the Phasis, strengthens Onoguris, falls ill, and dies at Mtskheta in Iberia. His body is exposed for the dogs, as Persian custom requires, and Agathias describes the Persians' burial, their marriages with near kin, and their ancient gods.

19 Μερμερόης δέ, ὁ τῶν Περσῶν στρατηγός, ἐπειδὴ
Mermeroes and the of-the Persians general since
πρότερον Ἀρχαιοπόλει τε δὶς προσβαλὼν ἀπεκέκρουστο,
before Archaeopolis both twice having-attacked had-been-repulsed
καὶ ἄλλα ἄττα ἐπεπράχει, ἃ δὴ ἔγωγε παρίημι,
and other things had-done which indeed I pass-over
(ἀποχρώντως γάρ που Προκοπίῳ τῷ ῥήτορι τὰ
sufficiently for somewhere by-Procopius the rhetor the(-things)
μέχρι τῶνδε ἀναγέγραπται,) τότε δὴ αὖθις (ἐνθένδε γάρ
up-to these has-been-recorded then indeed again thence for
μοι ἀρχομένῳ τὰ ἑφεξῆς ἁρμοστέον,) ἀφῖκτο μὲν ἐς
for-me beginning the next(-things) one-must-fit he-came indeed to
Μουχείρισίν τε καὶ Κοτάϊσιν τὸ φρούριον, ἐβούλετο δὲ
Mucheirisis both and Cotaïsis the fortress he-wished and
τὴν ἐς Τήλεφιν δυσχωρίαν παραμειψάμενος, εἴσω τοῦ
the toward Telephis rough-ground having-passed within the
Φάσιδος γενέσθαι ποταμοῦ, καὶ τῷ ἀπροσδοκήτῳ τοὺς
Phasis to-get river and by-the unexpected the
Ῥωμαίους ἐκπλήξας, διὰ πείρας ἐλθεῖν, εἴ πως ἂν ἔνια
Romans having-dismayed through trial to-come if somehow — some
γοῦν τῶν τῇδε πολισμάτων παραστήσασθαι δυνηθείη.
at-any-rate of-the here towns to-bring-over he-might-be-able
ταῦτα δὲ αὐτῷ πράττειν ἐκ τοῦ ἐμφανοῦς πορευομένῳ
these(-things) and for-him to-do from the open marching

καὶ ἐπιόντι ἀμήχανα ἦν. Μαρτῖνος γὰρ ὁ στρατηγὸς
and advancing impossible were Martinus for the general
ἅμα τῇ ἀμφ᾽ αὐτὸν στρατιᾷ ἐς τὴν Τήλεφιν ἱδρυμένος,
with the about him army at — Telephis stationed
(φρούριον δὲ τοῦτο καρτερόν τε καὶ ἐχυρώτατον,)
fortress and this strong both and most-secure
διεφύλαττεν ἐπιμελέστατα τὰς εἰσόδους. ἔστι δὲ καὶ
guarded most-carefully the entrances is and also
ἄλλως τὸ χωρίον δύσβατόν τε καὶ ἀπρόσοδον. φάραγγές
otherwise the place hard-to-traverse both and inaccessible ravines
τε γὰρ καὶ πέτραι ἀπερῥωγυῖαι καὶ ἐς ἀλλήλας
both for and rocks broken-off and toward one-another
ἐπικλινόμεναι στενωτάτην ἀτεχνῶς τὴν ὑποκειμένην
leaning narrowest utterly the underlying
ἀτραπὸν ἐκτελοῦσιν. ἄλλοθεν δὲ οὐκ ἔστιν ὁτῳοῦν
path make from-elsewhere and not it-is for-anyone-whatever
εἰσιτητέα. τὰ γὰρ ἐχόμενα πεδία ἰλυώδη γέ εἰσι δεινῶς
one-must-enter the for adjoining plains muddy at-least are terribly
καὶ τελματώδη, λόχμαι τε δασεῖαι καὶ δρυμοὶ ἀνέχουσιν,
and marshy thickets and dense and woods rise
ὡς καὶ ἑνὶ ἀνδρί, καὶ τούτῳ εὐζώνῳ, ἄπορον εἶναι
so-that even for-one man and this lightly-equipped impassable to-be
τὸ χρῆμα, μή τοί γε πλήθεσιν ὡπλισμένοις. πλὴν
the thing not surely at-least for-numbers armed except
ἀλλὰ καὶ ὣς οἱ Ῥωμαῖοι οὐδὲν ὁτιοῦν πόνου ἀνιέντες, εἴ
but even so the Romans nothing whatever of-toil remitting if
πού τι εὗρον τῶν τόπων σφαλερόν τε καὶ βάσιμον,
anywhere any they-found of-the places perilous both and passable
αὐτίκα ξύλοις τε καὶ λίθοις περιέφραττον, καὶ θαμὰ ἐν
at-once with-timbers both and stones fenced-round and often in
τοῖσδε ἐμόχθουν. διαπορουμένῳ δὴ οὖν ἐν τοῖς παροῦσι
these toiled being-at-a-loss indeed then in the present(-things)

τῷ Μερμερόῃ καὶ πλεῖστα διαλογιζομένῳ, προσῆλθεν
— to-Mermeroes and most(-things) considering it-occurred
διανοεῖσθαι, ὡς εἴ γε ὁτῳδηοῦν τρόπῳ διαλύσοι
to-reflect that if at-least by-whatever way he-should-break-up
τὴν φρουρὰν τῶν Ῥωμαίων, καὶ ἠρέμα ἀπώσοιτο, οὐ
the guard of-the Romans and quietly should-thrust-aside not
πάμπαν αὐτῷ τὰ ἐς τὴν διάβασιν ἀνήνυτα ἔσται.
altogether for-him the(-things) toward the crossing unachievable will-be
πολεμίων μὲν γὰρ τῷ χώρῳ ἐνδελεχέστατα ἐφεδρευόντων,
enemies indeed for the place most-constantly watching
οὐχ οἷόν τε ἦν ἅμα ἀμφοτέρων κρατῆσαι· ἐκείνων δὲ
not able — it-was at-once both to-master they and
ἀνιέντων, ἀλλὰ μόνην γε τὴν δυσχωρίαν ἀκέσασθαι, καὶ
relaxing but alone at-least the rough-ground to-remedy and
τὸ δυσέμβολον τῆς πορείας ἐς τὸ εὐέφοδον ἁμωσγέπως
the hard-to-enter of-the march to the easy-of-approach somehow
μετασκευάσαι, οὐ λίαν ἀδύνατα εἶναι ἡγεῖτο. ἤλπιζε γὰρ
to-convert not very impossible to-be he-thought he-hoped for
τὴν ὕλην ἐκτέμνων τῇ πολυχειρίᾳ καὶ ἀνακαθαίρων,
the forest cutting-out with-the many-hands and clearing
καὶ τῶν πετρῶν ὅ, τι ἀντίξουν διακολάπτων καὶ
and of-the rocks what ever obstructive hewing-through and
παραιρούμενος, οὐ χαλεπῶς διαβήσεσθαι. ὡς ἂν οὖν
removing not with-difficulty to-cross so-that — then
ταῦτα διαπράξοιτο, ἐπενόει τοιάδε· ἐσκήπτετο ἀθρόον
these(-things) he-might-accomplish devised such(-things) he-pretended suddenly
νόσῳ τινὶ δεινῇ τε καὶ ἀνηκέστῳ ἑαλωκέναι, καὶ
by-disease some terrible both and incurable to-have-been-seized and
οὖν ἀνεκέκλιτο δυσφορῶν δῆθεν καὶ ἀσχάλλων καὶ τὸ
then lay-down suffering forsooth and chafing and the
ξυμπεσὸν ὀλοφυρόμενος· ὅ τε λόγος οὗτος ἀνὰ πᾶν
mishap lamenting the and report this through all

αὐτίκα ἐφοίτα τὸ στράτευμα, ὡς ὁ στρατηγὸς πονήρως
at-once went the army that the general badly
τε ἔχοι, καὶ ὅσον οὔπω ἀπολεῖται· ὅσους τε αὐτῶν
both was and as-much not-yet will-perish as-many and of-them
ἤρεσκεν μισθαρνεῖν τοῖς ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείων
it-pleased to-serve-for-pay the opponents for the of-the own(-people)
προδοσίᾳ, καὶ λάθρα ἐξάγειν τὰ ἀπόῤῥητα, οὗτοι δὲ
betrayal and secretly to-carry-out the secrets these and
τὸ μὲν ἀτρεκὲς οὐκ ἐγίγνωσκον· (ἀσφαλέστατα γὰρ
the indeed exact not knew most-securely for
τὸ βούλευμα ἐκρύπτετο, καὶ οὐδὲ ἐς ἅπαντας τοὺς
the plan was-hidden and not-even to all the
φιλτάτους ἐξέπιπτε·) μόνοις δὲ τοῖς ἐν τῷ ὁμίλῳ
dearest leaked alone and the(-things) in the throng
περιαγομένοις ἐξηπατημένοι τοῖς Ῥωμαίοις διήγγελλον. οἱ
circulating deceived to-the Romans reported they
δὲ ῥᾳδίως ἐπείθοντο, οὐ τοσοῦτον, οἶμαι, τῇ ἀγγελίᾳ,
and easily were-persuaded not so-much I-think by-the message
ὁπόσον τῷ βουλομένῳ τῆς γνώμης.
as-much-as by-the wishing of-the mind
Εὐθὺς δὴ οὖν τὸ ἐνεργόν τε καὶ σύντονον τῆς φροντίδος 20
at-once indeed then the active both and strenuous of-the care
ὑποχαλῶντες, οὐκέτι λίαν ἀκριβῆ τὴν φυλακὴν ἐποιοῦντο.
slackening no-longer very exact the guard they-made
ὀλίγαι τε παρῳχήκεσαν ἡμέραι, καὶ ὁ Μερμερόης ὡς
few and had-passed days and — Mermeroes as
δὴ τεθνηκὼς ἀπηγγέλλετο. ἔκρυπτε γὰρ ἑαυτὸν ἔς τι
indeed dead was-reported he-hid for himself in some
δωμάτιον, ὡς καὶ παρὰ τοῖς οἰκειοτάτοις τήνδε νικῆσαι
small-room so-that even among the closest this to-prevail
τὴν δόξαν. τότε δὴ οὖν καὶ μᾶλλον τοῖς Ῥωμαίοις
the belief then indeed then also more to-the Romans

περιττόν τι ἐδόκει ἀγρυπνεῖν τε καὶ ἐπιπολὺ
superfluous somewhat seemed to-keep-awake both and greatly
διαπονεῖσθαι. καὶ τοίνυν μεθέντες τὰς περιφράξεις καὶ
to-toil and therefore having-let-go the barricades and
τὴν ἐν τούτοις ἀπεργασίαν, ἐς τὸ ἀνειμένον μετέβαλλον,
the in these work to the relaxed they-changed
παννύχιόν τε καθεύδοντες καὶ ἐς τὰς ἐπαύλεις τῶν ἀγρῶν
all-night both sleeping and in the farmsteads of-the fields
διαιτώμενοι, καὶ οὔτε κατασκόπους ἔστελλον, οὔτε ἄλλο
living and neither scouts sent nor other
τι ἔπρασσον τῶν δεόντων. ᾤοντο γὰρ ὡς οὐκ ἄν ποτε
any did of-the needful(-things) they-thought for that not — ever
οἱ Πέρσαι, ἀστρατήγητοι δῆθεν γεγονότες, ἐπ᾽ αὐτοὺς
the Persians generalless forsooth having-become against them
ἥξουσι, μᾶλλον μὲν οὖν καὶ ὡς πορρώτατω φευξοῦνται.
will-come rather indeed then even as farthest will-flee
ταῦτα δὲ γνοὺς ὁ Μερμερόης ἀνακαλύπτει
these(-things) and having-learned — Mermeroes uncovers
ἐξαπιναίως τὸν δόλον καὶ ἐπιφαίνεται τοῖς Πέρσαις
suddenly the ruse and shows-himself to-the Persians
ὁποῖος καὶ πρότερον, καὶ εὐθύς, ὡς εἶχε προθυμίας,
such-as also before and at-once as he-was of-eagerness
ἅπαντας κινήσας, καὶ τὴν χαλεπότητα τῆς πορείας εὖ
all having-moved and the difficulty of-the march well
διαθείς, ᾗ πάλαι διενοεῖτο, παραγέγονεν ἀγχοῦ τοῦ
having-arranged where of-old he-intended has-arrived near the
φρουρίου. καὶ ἤδη ἐπέλαζε τοῖς Ῥωμαίοις κατεπτηχόσι
fortress and already approached the Romans cowering
τῷ παραλόγῳ καὶ οἵοις οὐκέτι ἀμύνεσθαι. τότε δὴ
at-the unexpected and such-as no-longer to-defend-themselves then indeed
οὖν ὁ Μαρτῖνος ἔγνω καταλιπεῖν τὸ χωρίον, πρὶν
then — Martinus decided to-abandon the place before

τελεώτατα παρελθεῖν εἴσω τὸν Μερμερόην, καὶ μέγα
completely to-pass within — Mermeroes and great
τι κακὸν τοὺς τῇδε Ῥωμαίους ἐργάσασθαι. πῶς γὰρ
some evil the here Romans to-work how for
ἐνῆν αὐτοὺς ὀλίγους γε ὄντας ἐνεγκεῖν τὰ πλήθη
was-it-possible them few at-least being to-bear the multitudes
τῶν πολεμίων, καὶ μὴ οὐχὶ αὐτοβοεὶ διαφθαρῆναι;
of-the enemies and not not at-the-first-shout to-be-destroyed
οὕτω δὴ οὖν καταστρατηγηθέντες ὑπὸ τῶν βαρβάρων,
so indeed then outgeneraled by the barbarians
καὶ αἰσχίστην ποιούμενοι τὴν ἀναχώρησιν, ἠπείγοντο
and most-shameful making the retreat hastened
τοῖς ἄλλοις ἀναμιχθῆναι στρατεύμασιν. ἐτύγχανον γὰρ
the other to-join armies happened for
οἱ ἀμφὶ Βέσσαν τε καὶ Ἰουστῖνον ἐν πεδίῳ τινὶ
the(-ones) about Bessas both and Justinus in plain some
στρατοπεδευόμενοι, οὐ πόῤῥω Τηλέφεως κειμένῳ, ἀλλὰ
encamped not far-from Telephis lying but
μόνοις σταδίοις ἑπτὰ διεστηκότι. ἔστι δὲ οὐδὲν ὁτιοῦν
only by-stades seven distant is and nothing whatever
ἄλλο ἐνταῦθα, ἢ μόνα χυτρῶν πωλητήρια, ὡς καὶ τὴν
else there than only of-pots shops so-that also the
προσηγορίαν ἐντεῦθεν τῷ χώρῳ εἰλῆφθαι· Ὀλλάρια
name thence for-the place to-have-been-taken Ollaria
γάρ, ὡς ἂν Λατῖνός τις φήσοι, ἐπωνόμασται· δύναται δὲ
for as — Latin some would-say it-is-named means and
τοῦτο τῇ Ἑλλήνων φωνῇ Χυτροπώλια. ἤδη δὲ πολλῶν
this in-the of-Greeks speech Pot-Market already and many
ἅμα τῷ Μαρτίνῳ προτερησάντων καὶ ἐν τῷ ἀσφαλεῖ
with — Martinus having-gone-ahead and in the safety
γενομένων, ἐβουλεύοντο ἅπαντες οἱ στρατηγοί, ἐνταῦθα
having-got resolved all the generals there

τοὺς δυσμενεῖς ἐκδεξάμενοι στήσεσθαί τε ἐς παράταξιν,
the enemies having-awaited to-stand both in battle-array
καὶ διακωλύειν αὐτοὺς ἀνὰ τὰ πρόσω ἰόντας. ἦν δέ τις
and to-hinder them toward the forward going was and one
τῶν ἐπισημοτάτων ἐν τοῖς ταξιάρχαις Θεόδωρος ὄνομα,
of-the most-distinguished among the taxiarchs Theodore by-name
τὸ μὲν γένος ἕλκων ἐκ τοῦ ἔθνους τῶν Τζάνων, παρὰ
the indeed race drawing from the nation of-the Tzani among
Ῥωμαίοις δὲ τεθραμμένος, καὶ ἤδη τὸ βαρβαρικὸν τοῦ
Romans and raised and already the barbarian of-the
τρόπου, εἰ καὶ πάτριον ἦν, ἀποσκευασάμενος καὶ ἐς τὸ
manner if even ancestral it-was having-put-off and to the
ἀστειότατον μετακοσμήσας. οὗτος δὴ οὖν ὁ Θεόδωρος
most-urbane having-remodeled this indeed then — Theodore
ἅμα τῇ οἰκείᾳ δυνάμει, (εἵποντο γὰρ αὐτῷ οὐ μείους
with the own force followed for him not fewer
ἢ πεντακόσιοι ἄνδρες τῶν ὁμοφύλων,) ἀμφὶ Τήλεφιν
than five-hundred men of-the fellow-tribesmen about Telephis
ἔτι ἐμεμενήκει, εἰρημένον αὐτῷ ὑπὸ Μαρτίνου, μὴ
still had-remained it-having-been-told to-him by Martinus not
πρότερον ἐνθένδε χωρῆσαι, πρὶν ἂν θεάσοιτο ἅπαντας
sooner thence to-go before — he-should-see all
τοὺς πολεμίους εἰσβεβληκότας εἰκάσοι τε αὐτούς, ὡς
the enemies having-invaded should-estimate and them as
ἔνεστιν, ὅσοι εἶεν, καὶ γνοίη ὅπως ἔχουσιν ὁρμῆς
it-is-possible how-many they-were and should-learn how they-are of-impetus
τε καὶ γνώμης.
both and of-intent

21 Ὁ δέ, (ἦν γὰρ ἐς ἅπαντα δραστήριός τε καὶ θαῤῥαλέος,)
he and he-was for in everything energetic both and bold
καὶ δὴ κατὰ ταῦτα ἐποίει· καὶ εἶτα, ἐπειδὴ παρόντα
also indeed according-to these(-things) did and then when present

εἶδε τὰ πλήθη τῶν Περσῶν ἐντὸς τοῦ φρουρίου, ἔγνω
he-saw the multitudes of-the Persians within the fortress learned
τε αὐτοὺς οὐ μέχρι τοῦδε στησομένους, ἀλλὰ καὶ σφόδρα
and them not up-to this going-to-stop but even greatly
πολεμησείοντας, αὐτίκα ᾤχετο. εὑρὼν δὲ κατὰ τὴν
eager-for-war at-once he-went-off having-found and along the
πορείαν πολλοὺς τῶν Ῥωμαίων οὐκ εὐθυδρομήσαντας ἐς
march many of-the Romans not having-run-straight to
τὰ Χυτροπώλια, ᾗπερ αὐτοῖς διετέτακτο, ἀλλ᾽ ἐν οἰκήμασι
the Pot-Market as-very to-them had-been-ordered but into dwellings
Λαζικοῖς εἰσπηδήσαντας, καὶ ἀφαιρουμένους ἔλυμόν τε
Lazic having-leapt and taking-away millet both
καὶ ζειὰς καὶ ἄλλα ἄττα τῶν ἐδωδίμων, ἀπελαύνειν τε
and spelt and other things of-the eatables to-drive-off both
αὐτοὺς ἐπειρᾶτο καὶ κατεμέμφετο τῆς παρανοίας, ὡς
them he-tried and blamed for-the folly as
οὐκ εἰδότας οὗπερ τυγχάνουσιν ὄντες κακοῦ. ὅσοι
not knowing of-which-very they-happen being evil as-many-as
μὲν οὖν ἦσαν αὐτῶν οὐ λίαν λίχνοι τε καὶ ἀκόλαστοι,
indeed then were of-them not very greedy both and licentious
οὗτοι δὲ μεταμαθόντες τὸ λῷον ξυνείποντό τε αὐτῷ καὶ
these and having-learned-better the better followed both him and
βάδην ἀπεκομίζοντο· πλὴν ἀλλ᾽ οὐ γεγένηται χώρα τῷ
at-a-walk withdrew except but not has-been room —
Θεοδώρῳ σχολαίτερον διαγγεῖλαι τοῖς στρατηγοῖς τὴν
for-Theodore more-leisurely to-report to-the generals the
ἐπήλυσιν τοῦ Μερμερόου. ἐνίων γὰρ ἔτι ἐκ τοῦ στρατοῦ
onset — of-Mermeroes some for still from the army
τῇ ἁρπαγῇ ἐγκειμένων καὶ οὐκ ἀνιέντων, ἐπιφοιτῶσιν
on-the plunder intent and not desisting come-upon
ἀθρόον οἱ Πέρσαι, καὶ ὀλίγους μὲν αὐτῶν ἔκτεινον· οἱ δὲ
suddenly the Persians and few indeed of-them killed the and

ἄλλοι δρομαῖοι ἔφυγον, καὶ δὴ ἐξαπιναίως ἐσπίπτουσιν
others at-a-run fled and indeed suddenly burst-in
ἀνὰ τὸ στρατόπεδον ξὺν οἰμωγῇ καὶ θορύβῳ, ὡς
through the camp with wailing and uproar so-that
ἅπαντας ξυνταραχθῆναι τῷ αἰφνιδίῳ, καὶ πέρα τοῦ
all to-be-confounded by-the sudden and beyond the
μετρίου δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι. οἱ
measure fearing to withdrawal to-shift the
δὲ στρατηγοί, (οὔπω γὰρ αὐτοῖς ἐς φάλαγγα ὁ
and generals not-yet for for-them in phalanx the
στρατὸς ἐτετάχατο,) δεδιότες καὶ οἵ, μὴ σφίσιν οὐ
army had-been-drawn-up fearing also they lest them not
παρεσκευασμένοις ἐπισταῖεν οἱ βάρβαροι, περιεφρόνουν
prepared should-come-upon the barbarians disregarded
μὲν τὰ πρότερον δοκηθέντα, οὐκ εἶχον δὲ ὅ, τι
indeed the(-things) before resolved not they-had and what ever
καὶ γένοιντο· οὔτε γὰρ βουλεύσασθαι αὐτοῖς περὶ τῶν
even they-should-become neither for to-deliberate for-them about the
παρόντων ὁ καιρὸς ἐνεδίδου καὶ τὸ ἤδη καταπεπλῆχθαι
present(-things) the time allowed and the already to-be-stunned
τὰς γνώμας. εὐθὺς οὖν ἄραντες ἐκ τοῦ πεδίου, καὶ
the minds at-once then having-set-off from the plain and
ἅπαντα ἐπαγόμενοι τὰ στρατεύματα, ᾤχοντο ἀγεννῶς καὶ
all bringing the armies went-off ignobly and
ἀκόσμως, καὶ οὐ πρότερον ἐπαύσαντο θέοντες, πρὶν ἐς
disorderly and not sooner stopped running before to
τὴν Νῆσον ἱκέσθαι. ἄπεστι δὲ ἡ Νῆσος ἥδε Τηλέφεως
the Island to-reach is-distant and the Island this from-Telephis
πέντε μάλιστα παρασάγγαις. τοσαύτην ἄρα οἱ γενναῖοι
five about parasangs so-great then the noble(-ones)
αὐθημερὸν πορείαν διήνυσαν, ὠκύτατα πεφευγότες. ἔστι
same-day march accomplished most-swiftly having-fled is

γὰρ ὁ παρασάγγης, ὡς μὲν Ἡροδότῳ δοκεῖ καὶ
for the parasang as indeed to-Herodotus seems and
Ξενοφῶντι, τριάκοντα στάδια, ὡς δὲ νῦν Ἴβηρες καὶ
to-Xenophon thirty stades as and now Iberians and
Πέρσαι φασίν, ἐν ἑνὶ μόνῳ τῶν εἴκοσι πλείονα. Λαζοὶ δὲ
Persians say by one only than-the twenty more Lazi and
οὕτω μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν, οὐ μὴν δὲ τῷ ὀνόματι
so indeed also themselves agree not truly and the name
χρῶνται, ἀλλὰ ἀναπαύλας καλοῦσι, καί, οἶμαι, εἰκότως.
use but rests they-call-them and I-think reasonably
οἱ γὰρ παρ᾽ αὐτοῖς ἀχθοφόροι, ἕκαστον παρασάγγην
the for among them porters each parasang
περαιωθέντες, τά τε φορτία τίθενται, καὶ σφᾶς
having-crossed the both loads set-down and them
αὐτοὺς ἐλάχιστον ἀναπαύουσιν, ἑτέρων δήπου ἀμοιβαδὸν
selves very-little rest others surely in-turn
διαδεχομένων, καὶ καθόσον τοῦτο δρῶσιν, ἐς τοσοῦτον
taking-over and as-far-as this they-do to so-far
τὰς ὁδοὺς διαμετροῦνται καὶ κατατέμνουσιν. εἴτε δὴ
the roads they-measure and divide whether indeed
οὖν οὕτως, εἴτε ἐκείνως τὸν παρασάγγην κλητέον,
then so or that-way the parasang one-must-call
πεντήκοντά γε καὶ ἑκατὸν σταδίοις ἐκ τοῦ φρουρίου ἡ
fifty at-least and hundred by-stades from the fortress the
Νῆσος διείργεται. ἔστι δὲ τὸ χωρίον ἐπιεικῶς ἐχυρόν, καὶ
Island is-separated is and the place fairly secure and
οὐκ εὐέφοδον, ταῖς τῶν ποταμῶν περιβαλλόμενον δίναις.
not easy-of-approach by-the of-the rivers surrounded eddies
ὅ τε γὰρ Φάσις καὶ ὁ Δοκωνός, ἐκ τοῦ Καυκάσου
the both for Phasis and the Doconus from the Caucasus
διακριδὸν καταῤῥέοντε καὶ πολλῷ τὰ πρῶτα διεστηκότε,
separately flowing-down and by-much the first standing-apart

ἐνταῦθα τῆς τῶν τόπων θέσεως ἀναγκαζούσης ἠρέμα
there the of-the places position compelling gently
πλησιάζετον ἀλλήλοιν καὶ οὐκέτι ἄποθεν φέρεσθον, ὥστε
approach one-another and no-longer apart are-carried so-that
ἀμέλει τῶν Ῥωμαίων διώρυχά τινα μηχανησαμένων,
certainly the Romans channel some having-contrived
καὶ ἐκ τοῦ Φάσιδος ἐκροὴν εἰς τὸν Δοκωνὸν
and from the Phasis outflow into the Doconus
μετοχετευσάντων, τούτῳ δὴ τῷ τρόπῳ ἐς τὰ πρὸς
having-diverted in-this indeed the way at the(-parts) toward
τῆς ἕω τετραμμένα τῆς Νήσου ἡνῶσθαι ἄμφω τὼ
the east turned of-the Island to-be-united both the
ποταμώ, καὶ ξυνειλῆφθαι τὸν χῶρον. ἐντεῦθεν δὲ αὖθις
rivers and to-be-enclosed the place thence and again
καμπάς τε καὶ περιελιγμοὺς ποιουμένω, οὐκ ἐλάχιστόν
bends both and windings making not least
τι χρῆμα τοῦ πεδίου εἴσω ἀπολαμβάνετον. προϊόντε
some quantity of-the plain within they-cut-off going-on
δὲ ἀνὰ τὸ πρόσω, ἐς δυόμενον ἥλιον ξυμβάλλετον
and toward the forward toward setting sun they-meet
αὐτομάτως καὶ ἀναμίγνυσθον τελεώτατα, ὡς ταύτῃ
of-themselves and mingle most-completely so-that in-this-way
γε ἅπαν τὸ μεταξὺ νῆσον ἐς τὸ ἀκριβὲς ἐκτελεῖσθαι.
at-least all the between island to the exact to-be-made
ἐνταῦθα μὲν οὖν οἱ Ῥωμαῖοι ἐτύγχανον ξυνειλεγμένοι.
there indeed then the Romans happened gathered
22 Ὁ δὲ Μερμερόης ἐς τὰ Χυτροπώλια παραγενόμενος, καὶ
— *and Mermeroes to the Pot-Market having-arrived and*
πολλὰ τῆς ἀνανδρίας ἐπιτωθάσας τοὺς οὐκ ἀΐοντας καὶ
much for-the cowardice having-jeered the(-ones) not hearing and
λοιδορησάμενος, ἔγνω μὴ περαιτέρω ἰέναι, μηδὲ τῇ Νήσῳ
having-reviled decided not further to-go nor the Island

προσβάλλειν. οὔτε γὰρ τὰ ἐπιτήδεια ἐκπορίζεσθαι τοσούτῳ
to-attack neither for the supplies to-procure for-so-great
στρατῷ ἐν μέσῃ τῇ πολεμίᾳ οἷός τε ἦν, οὔτε ἄλλως
army in middle the hostile(-land) able — he-was nor otherwise
παρεσκεύαστο ἐς πολιορκίαν. τοιγάρτοι ἀποπορευτέα μὲν
was-prepared for siege therefore one-must-go-back indeed
αὖθις αὐτῷ ἐπὶ Τήλεφίν τε καὶ τὴν ἐκείνῃ δυσχωρίαν
again for-him to Telephis both and the there rough-ground
οὐ μάλα ἐδόκει, ξύλοις δὲ καὶ ἀκάτοις, ἃ δὴ
not very seemed with-timbers and and boats which indeed
ἐς τοῦτο ἐπεποίηντο, ζεύξας τὰς τοῦ Φάσιδος ὄχθας
for this had-been-made having-joined the of-the Phasis banks
καὶ οἷον γέφυραν τεκτηνάμενος, διεβίβασεν ἀδεῶς
and as-it-were bridge having-built took-across fearlessly
ἅπαν τὸ στράτευμα, οὐδενὸς ἐνοχλοῦντος. καὶ δὴ τοὺς
all the army no-one troubling and indeed the
εἰς Ὀνόγουριν Πέρσας ἱδρυμένους τὸ φρούριον, ὃ
in Onoguris Persians stationed the fortress which
δὴ πρότερον αὐτὸς ἐν τῇ Ἀρχαιοπόλεως περιοικίδι
indeed before he-himself in the of-Archaeopolis neighborhood
ἐπιτείχισμα κατὰ τῶν Ῥωμαίων κατεστήσατο, ἀλλὰ
stronghold against the Romans set-up but
τούτους γε τοὺς Πέρσας ἐπιθαρσύνας, καὶ ἑτέραν
these at-least the Persians having-encouraged and another
δύναμιν ἐμβαλών, καὶ ἅπαντα τὰ τῇδε, ὡς ἐνῆν,
force having-put-in and all the(-things) here as was-possible
κρατυνάμενος, πάλιν ἔς τε Κοταΐσιν καὶ Μουχείρισιν
having-strengthened again to both Cotaïsis and Mucheirisis
ἐπανῆκεν. αὐτίκα δὲ νόσῳ τινὶ πεπιεσμένος καὶ
returned at-once and by-disease some oppressed and
διατεθεὶς χαλεπώτατα, τὸ μὲν πλεῖστον τοῦ στρατοῦ
affected most-severely the indeed most of-the army

καὶ ἀλκιμώτατον αὐτοῦ καταλέλοιπεν διαφυλάξοντας τὰ
and most-valiant there he-left going-to-guard the
οἰκεῖα, αὐτὸς δὲ ἐς Ἰβηρίαν τὴν χώραν μετῆλθεν. καὶ
own(-things) he-himself and to Iberia the land went-over and
τοίνυν ἐς πόλιν Μεσχιθὰ οὕτω καλουμένην μόλις ἠγμένος,
therefore to city Mtskheta so called hardly brought
καὶ οὐκ ἐνεγκὼν τὸ πάθος, τότε δὴ τέθνηκεν ὡς ἀληθῶς
and not having-borne the affliction then indeed died as truly
ὁ Μερμερόης, ἀνὴρ ἐν τοῖς μάλιστα παρὰ Πέρσαις
— Mermeroes (a)-man among the most among Persians
γεγενημένος, καὶ δεινὸς μὲν ἐς εὐβουλίαν, ἄριστος δὲ
having-been and clever indeed in good-counsel best and
τὰ πολέμια, καὶ σφόδρα τὴν ψυχὴν ἀνδρειότατος· ὃς
the warlike(-things) and very the soul most-brave who
δὴ γηραιὸς ὢν ἤδη, καὶ ἐκ πλείστου ἄμφω τὼ
indeed aged being already and from longest both the
πόδε πεπηρωμένος, καὶ οἷος μηδὲ ἐφ' ἵππου ὀχεῖσθαι,
feet maimed and such-as not-even on horse to-ride
ὅμως ἐμόχθει ὥσπερ τις νεανίας ῥωμαλεώτατος, καὶ
nevertheless toiled like some youth most-robust and
οὐκ ἀπηγόρευεν πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην
not gave-up toward the labors but carried
ἐς τὰς παρατάξεις ἐφοίτα, καὶ ταύτῃ τοὺς μὲν
to the battles went and in-this-way the indeed
ἐναντίους κατέπληττεν, τοὺς δὲ οἰκείους παραινῶν καὶ
opponents dismayed the and own(-men) exhorting and
ἐγκελευόμενος, καὶ τὰ πρακτέα ὀρθῶς διατάττων,
urging-on and the(-things) to-be-done rightly arranging
πολλὰς ἀνεδήσατο νίκας. οὕτως ἄρα τὸ στρατηγεῖν οὐ
many won victories so then the to-command not
σώματος ῥώμῃ, μᾶλλον μὲν οὖν φρονήσει δοτέον.
of-body to-strength rather indeed then to-wisdom one-must-give

τότε δὴ τὸ σῶμα τοῦ Μερμερόου οἱ ἀμφ᾽ αὐτὸν
then indeed the body — of-Mermeroes the(-ones) about him
ἀνελόμενοι, καὶ ἐκτός που τοῦ ἄστεος ἀποκομίσαντες,
having-taken-up and outside somewhere the town having-carried-off
οὕτω δὴ ἔρημόν τε καὶ ἀκάλυπτον κατὰ τὸν πάτριον
so indeed deserted both and uncovered according-to the ancestral
ἔθεντο νόμον, κυσί τε ἅμα καὶ τῶν ὀρνέων τοῖς
placed custom for-dogs both at-once and of-the birds to-the(-ones)
ὅσα μιαρὰ καὶ νεκροβόρα, παρανάλωμα γενησόμενον.
as-many-as foul and carrion-eating waste going-to-become
Ὧδε γὰρ τὰ ἐς τὴν ταφὴν οἱ Πέρσαι νομίζουσι, 23
thus for the(-things) toward the burial the Persians practice
ταύτῃ τε τῶν σαρκῶν ἀφαιρουμένων, γυμνὰ δὴ τὰ
in-this-way and the flesh being-taken-away bare indeed the
ὀστᾶ πύθεται σποράδην ἀνὰ τὰ πεδία περιερῥιμμένα.
bones rot scattered over the plains thrown-about
θήκῃ γάρ τινι ἐμβαλεῖν ἢ λάρνακι τοὺς τεθνεῶτας, ἢ
into-tomb for some to-put or into-coffin the dead or
καὶ τῇ γῇ καταχωννύναι ἥκιστα θέμις αὐτοῖς. ἐφ᾽ ὅτῳ
even in-the earth to-bury least lawful for-them on whatever
δὲ ἂν σώματι μὴ θᾶττον καταπταῖεν οἱ ὄρνις, ἢ οἱ κύνες
and — body not quickly should-swoop-down the birds or the dogs
οὐκ αὐτίκα ἐπιφοιτῶντες διασπαράξαιεν, τοῦτον δὴ
not at-once coming-upon should-tear-apart this indeed
ἡγοῦνται τὸν ἄνθρωπον βέβηλον γεγονέναι τοὺς τρόπους,
they-think the man profane to-have-been the ways
καὶ τὴν ψυχὴν ἄδικον καὶ βαραθρώδη, καὶ τῷ κακῷ
and the soul unjust and fit-for-the-pit and to-the evil
δαίμονι ἀνειμένην. τότε δὴ οὖν καὶ μᾶλλον οἱ ἐπιτήδειοι
demon given-up then indeed then even more the friends
τὸν κείμενον ὀλοφύρονται, ὡς τελεώτατα τεθνηκότα,
the(-one) lying lament as most-completely dead

καὶ οὐ μετὸν αὐτῷ τῆς κρείττονος μοίρας. ὃς δὲ ἂν
and not being-a-share for-him of-the better lot who and —
τάχιστα καταβρωθείη, μακαρίζουσι τῆς εὐδαιμονίας, καὶ
quickest should-be-devoured they-bless for-the happiness and
τὴν ψυχὴν ὑπεράγανται ὡς λίαν ἀρίστην καὶ θεοείκελον
the soul admire-greatly as very best and godlike
καὶ ἐς τὸν τοῦ ἀγαθοῦ χῶρον ἀναβησομένην. οἱ δὲ πολλοὶ
and to the of-the good place going-to-ascend the and many
καὶ ἀσημότεροι εἴ που ἐν στρατοπέδῳ τύχοιεν
and more-obscure if anywhere in camp they-should-happen
νόσῳ τινὶ δυσκολωτάτῃ πεπιεσμένοι, ἔμπνοι ἔτι ἄγονται
by-disease some most-grievous oppressed breathing still are-taken-out
καὶ νηφάλιοι. ἐπειδὰν δέ τις οὕτως ἐκτεθείη, ἄρτου
and sober when and anyone so should-be-exposed of-bread
τρύφος αὐτῷ καὶ ὕδωρ καὶ βακτηρία ξυμπαράκεινται· καὶ
piece to-him and water and staff are-laid-beside and
μέχρι μὲν οἷός τε εἴη τῆς ἐδωδῆς ἀπογεύεσθαι, καί τι
as-long-as indeed able — he-is the food to-taste and some
δυνάμεως αὐτῷ ὑπολείποιτο, ὁ δὲ ἀμύνεται ταύτῃ δὴ τῇ
of-strength to-him should-remain he and wards-off with-this indeed the
βακτηρίᾳ τὰ ἐπιόντα τῶν ζώων, καὶ ἀποσοβεῖ τοὺς
staff the(-things) attacking of-the animals and scares-off the
δαιτυμόνας. εἰ δὲ οὔπω μὲν πάμπαν διαφθαρείη, νικῴη
banqueters if and not-yet indeed altogether he-should-perish should-prevail
δὲ ὅμως τὰ τῆς νόσου ὡς μηκέτι κινεῖσθαι
and nevertheless the(-things) of-the disease so-that no-longer to-move
τὼ χεῖρε, τότε δὴ τὸν δείλαιον ἡμιθνῆτα καὶ ἄρτι
the two-hands then indeed the wretch half-dead and just
ψυχορῥαγεῖν ἀρχόμενον κατεσθίουσι, καὶ προαφαιροῦνται
to-gasp-out-the-soul beginning they-devour and take-away-beforehand
τὴν ἐλπίδα τοῦ ἴσως ἂν καὶ περιέσεσθαι. πολλοὶ γὰρ
the hope of-the perhaps — even to-survive many for

ἤδη ἀναῤῥωσθέντες ἀπενόστησαν ἐς τὰ οἰκεῖα, καθάπερ
already having-recovered returned to the homes just-as
ἐν σκηνῇ καὶ τραγῳδίᾳ ἐκ τῶν σκότου πυλῶν ἀφιγμένοι,
on stage and in-tragedy from the of-darkness gates arrived
ἰσχνοί τινες καὶ ἑτερόχρωτες καὶ οἷοι δεδίττεσθαι τοὺς
thin some and discolored and such-as to-frighten the(-ones)
ἐντυγχάνοντας. εἰ δέ τις οὕτως ἐπανήξει, ἐκτρέπονταί
meeting if and anyone so will-return shun
γε αὐτὸν ἅπαντες, καὶ ἀποφεύγουσιν ὡς ἐναγέστατον,
at-least him all and flee as most-accursed
καὶ ὑπὸ τοὺς χθονίους ἔτι τελοῦντα, καὶ οὐ πρότερόν
and under the infernal(-gods) still belonging and not sooner
οἱ ἐφεῖται τῶν ξυνηθῶν μεταλαχεῖν διαιτημάτων, πρὶν
to-him is-permitted of-the accustomed to-share ways-of-life before
ὑπὸ τῶν μάγων ἀποκαθαρθείη τὸ μίασμα δῆθεν τοῦ
by the magi should-be-purged the pollution forsooth of-the
ἐλπισθέντος θανάτου, καὶ οἷον ἀνταπολάβοι τὸ αὖθις
expected death and as-it-were he-should-receive-back the again
βιῶναι. καὶ εὔδηλον μὲν ὅτι δὴ τῶν ἀνθρωπείων
to-live and very-clear indeed that indeed of-the human
ἐθνῶν ὡς ἕκαστοι, εἴ γε ὁτῳδηοῦν νόμῳ ἐκ πλείστου
nations as each if at-least by-whatever law from longest
νενικηκότι ἐμβιοτεύσαιεν, τοῦτον δὴ ἄριστον ἡγοῦνται
having-prevailed they-should-live this indeed best they-think
καὶ θεσπέσιον, καὶ εἴπου τι παρ᾽ ἐκεῖνον πράττοιτο,
and divine and if-anywhere anything against that should-be-done
φευκτόν τε αὐτοῖς εἶναι δοκεῖ καὶ καταγέλαστον καὶ
to-be-shunned both to-them to-be seems and ridiculous and
ὁποῖον ἤδη καὶ ἀπιστεῖσθαι. ἐξεύρηνται δὲ ὅμως
such-as already even to-be-disbelieved have-been-found and nevertheless
αἰτίαι τοῖς ἀνθρώποις καὶ λόγοι τῶν οἰκείων πέρι νόμων
reasons by-the men and accounts the own about laws

ἄλλοθι ἄλλοι, τυχὸν μὲν ἀληθεῖς, τυχὸν δὲ καὶ ἐς τὸ
elsewhere other perhaps indeed true perhaps and also to the
πιθανώτερον ἐσκευασμένοι. καὶ οὐδὲν οἶμαι θαυμαστόν, εἰ
more-plausible dressed-up and nothing I-think wonderful if
καὶ Πέρσαι τὰ παρὰ σφίσιν αὐτοῖς ἔθη αἰτιολογοῦντες,
also Persians the among them selves customs giving-reasons-for
ἀμείνονα πειρῶνται τῶν ἑκασταχοῦ ἀποφαίνειν· ἐκεῖνο
better try than-the everywhere to-show that
δὲ καὶ λίαν θαυμάσαιμι ἄν, ὅτι δὴ οἱ παλαίτατοι
and even very I-would-marvel-at — that indeed the most-ancient
τῆς χώρας οἰκήτορες, εἶεν δ' ἂν οὗτοι Ἀσσύριοί τε
of-the land inhabitants would-be and — these Assyrians both
καὶ Χαλδαῖοι καὶ Μῆδοι, ἀλλ' ἐκείνοις γε οὐ ταὐτὰ
and Chaldeans and Medes but to-those at-least not the-same
ἐδόκει. καὶ γὰρ ἀμφὶ Νίνον τὴν πόλιν καὶ ἀνὰ
seemed-good and for about Ninus the city and throughout
τὴν Βαβυλωνίαν χώραν καὶ πρός γε ἐν τῇ Μηδικῇ
the Babylonian land and besides at-least in the Median(-land)
τύμβοι τε καὶ θῆκαι τῶν πάλαι τεθνεώτων ἵδρυντο, οὐκ
tombs both and coffins of-the of-old dead were-set-up not
ἄλλον τινὰ ἢ τὸν ἡμέτερον ἀποσώζουσαι τρόπον, καὶ
other any than the our preserving way and
εἴτε σώματα, εἴτε κόνις ἦν τὸ κρυπτόμενον, ὡς δὴ
whether bodies or ash was the(-thing) hidden as indeed
ἐκείνων κατὰ τὸν παρ' Ἕλλησι νόμον πυρποληθέντων,
those according-to the among Greeks custom having-been-burned
οὐδαμῶς ὅμοιά γε ταῦτα τοῖς νῦν γιγνομένοις
in-no-way like at-least these(-things) to-the(-things) now happening
ἐτύγχανον ὄντα.
happened being

Οὔκουν ἐκεῖνοί γε ὧδε ἐγίγνωσκον, οὔτε περὶ τὰς 24
not-therefore those at-least thus thought neither about the
ταφάς, οὐμενοῦν ἀλλ᾽ οὐδὲ ἐς τὴν τῆς εὐνῆς παρανομίαν
burials nor-indeed but not-even toward the of-the bed lawlessness
ὁποῖα οἱ νῦν ἀκολασταίνουσιν, οὐ μόνον ἀδελφαῖς
such-as the(-ones) now are-licentious not only with-sisters
τε καὶ ἀδελφιδαῖς ἀνέδην μιγνύμενοι, ἀλλὰ πατέρες τε
both and with-nieces freely mingling but fathers both
θυγατράσι, καὶ τὸ δὴ πάντων ἀνοσιώτερον, ὦ νόμοι
with-daughters and the indeed of-all more-unholy O laws
γε καὶ φύσις! υἱοὶ ταῖς τεκούσαις. ὅτι γὰρ αὐτοῖς
at-least and nature sons with-the(-ones) having-borne-them that for by-them
καὶ τοῦτο κεκαινοτόμηται, ἐκεῖθεν ἄν τις σαφέστατα
also this has-been-innovated thence — anyone most-clearly
διαγνοίη. λέγεται γάρ ποτε Σεμίραμιν τὴν πάνυ τὴν
could-discern it-is-said for once Semiramis the famous the
Ἀσσυρίαν εἰς τοῦτο ἀκρασίας ἠγμένην, ὡς Νινύᾳ τῷ
Assyrian to this of-incontinence brought that with-Ninyas the
παιδὶ ἐθελῆσαι ξυνελθεῖν ἐς ταὐτό, καὶ ἤδη πειρᾶν
son to-wish to-come-together into the-same and already to-make-attempts-on
τὸν νεανίαν. τὸν δὲ ἀπανήνασθαι καὶ χαλεπῆναι, καὶ
the youth him and to-refuse and to-be-angry and
τελευτῶντα, ἐπειδὴ αὐτὴν ἑώρα σφαδάζουσαν καὶ
finally since her he-saw struggling and
ἐγκειμένην, ἀποκτεῖναί τε τὴν μητέρα, καὶ τόδε τὸ ἄγος
pressing to-kill both the mother and this the curse
ἀντ᾽ ἐκείνου ἑλέσθαι. καίτοι εἰ νόμῳ ταῦτα ἐφεῖτο,
instead-of that to-choose and-yet if by-law these(-things) were-permitted
οὐκ ἄν, οἶμαι, ὁ Νινύας ἐς τόδε ὠμότητος ᾔει.
not — I-think — Ninyas to this of-cruelty would-have-gone
καὶ τί δεῖ τὰ λίαν παλαίτατα λέγειν; ὀλίγῳ γὰρ
and why need the very most-ancient(-things) to-tell little for

ἔμπροσθεν τῶν Μακεδονικῶν καὶ τῆς τῶν Περσῶν
before the Macedonian(-times) and the of-the Persians
καταλύσεως, Ἀρταξέρξην φασὶ τὸν Δαρείου, Παρυσάτιδος
overthrow Artaxerxes they-say the of-Darius Parysatis
τῆς μητρὸς παραπλήσια τῇ Σεμιράμιδι παθούσης, καὶ
the mother similar(-things) — to-Semiramis having-suffered and
ξυγγενέσθαι οἱ ἱεμένης, ἀποκτεῖναι μὲν αὐτὴν ἥκιστα,
to-be-with him desiring to-kill indeed her least
ἐκκλῖναι δὲ ὅμως ξὺν ὀργῇ καὶ ἀποσείσασθαι, ὡς
to-turn-aside and nevertheless with anger and to-shake-off as
οὐχ ὅσιον ὂν τοῦτό γε, οὐδὲ πάτριον, οὐδὲ τῷ βίῳ
not holy being this at-least nor ancestral nor to-the life
ξυνειθισμένον. Πέρσαις δὲ τοῖς νῦν τὰ μὲν πρότερα
customary for-Persians and the now the indeed former
ἔθη σχεδόν τι ἅπαντα παρεῖται ἀμέλει καὶ
customs nearly somewhat all have-been-neglected certainly and
ἀνατέτραπται, ἀλλοίοις δέ τισι καὶ οἷον νενοθευμένοις
overturned different and some and as-it-were bastardized
χρῶνται νομίμοις, ἐκ τῶν Ζωροάστρου τοῦ Ὀρμάσδεως
they-use usages from the of-Zoroaster the of-Ormasdes
διδαγμάτων κατακεληθέντες. οὗτος δὲ ὁ Ζωρόαστρος,
teachings having-been-bewitched this and — Zoroaster
ἤτοι Ζαράδης (διττὴ γὰρ ἐπ᾽ αὐτῷ ἡ ἐπωνυμία), ὁπηνίκα
or Zarades double for upon him the name when
μὲν ἤκμασεν τὴν ἀρχήν, καὶ τοὺς νόμους ἔθετο, οὐκ
indeed he-flourished the beginning and the laws laid-down not
ἔνεστι σαφῶς διαγνῶναι. Πέρσαι δὲ αὐτὸν οἱ νῦν ἐπὶ
it-is-possible clearly to-discern Persians and him the now under
Ὑστάσπεω, οὕτω δή τι ἁπλῶς, φασὶ γεγονέναι,
Hystaspes so indeed somewhat simply say to-have-lived
ὡς λίαν ἀμφιγνοεῖσθαι καὶ οὐκ εἶναι μαθεῖν, πότερον
so-that greatly to-be-doubted and not to-be-possible to-learn whether

Δαρείου πατήρ, εἴτε καὶ ἄλλος οὗτος ὑπῆρχεν Ὑστάσπης.
of-Darius father or also another this was Hystaspes
ἐφ᾽ ὅτῳ δ᾽ ἂν καὶ ἤνθησε χρόνῳ, ὑφηγητὴς αὐτοῖς
in whatever and — even he-flourished time teacher to-them
ἐκεῖνος, καὶ καθηγεμὼν τῆς μαγικῆς γέγονεν ἁγιστείας,
he and leader of-the magian became ritual
καὶ αὐτὰς δὴ τὰς προτέρας ἱερουργίας ἀμείψας,
and very indeed the former rites having-changed
παμμιγεῖς τινας καὶ ποικίλας ἐνέθηκε δόξας. τὸ μὲν γὰρ
all-mixed some and various put-in beliefs the indeed for
παλαιὸν Δία τε καὶ Κρόνον καὶ τούτους δὴ ἅπαντας
ancient Zeus both and Cronus and these indeed all
τοὺς παρ᾽ Ἕλλησι θρυλλουμένους ἐτίμων θεούς, πλήν
the among Greeks much-talked-of they-honored gods except
γε ὅτι δὴ αὐτοῖς ἡ προσηγορία οὐχ ὁμοίως ἐσώζετο.
at-least that indeed for-them the appellation not alike was-kept
ἀλλὰ Βῆλον μὲν τὸν Δία τυχόν, Σάνδην τε τὸν
but Belus indeed — Zeus perhaps Sandes and —
Ἡρακλέα, καὶ Ἀναΐτιδα τὴν Ἀφροδίτην, καὶ ἄλλως τοὺς
Heracles and Anaitis — Aphrodite and otherwise the
ἄλλους ἐκάλουν, ὥς που Βηρωσσῷ τε τῷ Βαβυλωνίῳ,
others they-called as somewhere by-Berossus both the Babylonian
καὶ Ἀθηνοκλεῖ, καὶ Σιμάκῳ, τοῖς τὰ ἀρχαιότατα τῶν
and by-Athenocles and by-Simacus the(-ones) the most-ancient(-things) of-the
Ἀσσυρίων τε καὶ Μηδῶν ἀναγραψαμένοις, ἱστόρηται·
Assyrians both and Medes having-recorded it-is-related
νῦν δὲ ὡς τὰ πολλὰ τοῖς καλουμένοις Μανιχαίοις
now and as the most(-part) with-the so-called Manichaeans
ξυμφέρονται, ἐσόσον δύο τὰς πρώτας ἡγεῖσθαι ἀρχάς, καὶ
they-agree in-so-far-as two the first to-hold principles and
τὴν μὲν ἀγαθήν τε ἅμα καὶ τὰ κάλλιστα τῶν ὄντων
the indeed good both at-once and the fairest of-the things-that-are

ἀποκυήσασαν, ἐναντίως δὲ κατ᾽ ἄμφω ἔχουσαν τὴν ἑτέραν·
having-brought-forth oppositely and in both being the other
ὀνόματά τε αὐταῖς ἐπάγουσι βαρβαρικὰ καὶ τῇ σφετέρᾳ
names and to-them they-apply barbarian and in-the their-own
γλώττῃ πεποιημένα. τὸν μὲν γὰρ ἀγαθόν, εἴτε θεὸν εἴτε
tongue made the indeed for good whether god or
δημιουργόν, Ὡρμισδάτην ἀποκαλοῦσιν, Ἀριμάνης δὲ ὄνομα
creator Ormisdates they-call Arimanes and name
τῷ κακίστῳ καὶ ὀλεθρίῳ. ἑορτήν τε πασῶν μείζονα τὴν
to-the worst and destructive feast and than-all greater the
τῶν κακῶν λεγομένην ἀναίρεσιν ἐκτελοῦσιν, ἐν ᾗ τῶν τε
of-the evils called destruction they-perform in which of-the both
ἑρπετῶν πλεῖστα καὶ τῶν ἄλλων ζώων ὁπόσα ἄγρια καὶ
reptiles very-many and of-the other animals as-many-as wild and
ἐρημονόμα κατακτείνοντες, τοῖς μάγοις προσάγουσιν, ὥσπερ
desert-dwelling killing to-the magi they-bring as-if
ἐς ἐπίδειξιν εὐσεβείας. ταύτῃ γὰρ οἴονται τῷ μὲν ἀγαθῷ
for display of-piety in-this-way for they-think to-the indeed good
κεχαρισμένα διαπονεῖσθαι, ἀνιᾷν δὲ καὶ λυμαίνεσθαι τὸν
pleasing(-things) to-work-at to-grieve and also to-harm —
Ἀριμάνην. γεραίρουσι δὲ ἐς τὰ μάλιστα τὸ ὕδωρ, ὡς μηδὲ
Arimanes they-honor and in the most the water so-that not-even
τὰ πρόσωπα αὐτῷ ἐναπονίζεσθαι, μήτε ἄλλως ἐπιθιγγάνειν,
the faces in-it to-wash nor otherwise to-touch
ὅτι μὴ ποτοῦ τε ἕκατι καὶ τῆς τῶν φυτῶν ἐπιμελείας.
except — of-drink both for-the-sake-of and the of-the plants care

Agathias recounts the Persians' religion and their history from the Assyrians and Medes through Cyrus, the Macedonians, and the Parthians, and the legendary birth of Artaxares, founder of the Sasanian line. He then judges Chosroes' fame for learning. Uranius, a Syrian quack who posed as a philosopher, won the king's favor with bluster. The philosophers who sought refuge with Chosroes left disillusioned; on their way home they buried an unburied corpse, and one of them was warned in a dream to let it lie.

Πολλοὺς δὲ καὶ ἄλλους θεοὺς ὀνομάζουσι καὶ ἱλάσκονται· 25
many and also other gods they-name and propitiate
τοῦτο Ἑλληνικόν. θυσίαις τε χρῶνται καὶ ἀφαγνισμοῖς καὶ
this Greek sacrifices both they-use and purifications and
μαντείαις· καὶ τοῦτο Ἑλληνικόν. τὸ δὲ πῦρ αὐτοῖς τίμιόν
divinations also this Greek the and fire to-them precious
τε εἶναι δοκεῖ καὶ ἁγιώτατον, καὶ τοίνυν ἐν οἰκίσκοις τισὶν
both to-be seems and most-holy and therefore in small-houses some
ἱεροῖς τε δῆθεν καὶ ἀποκεκριμένοις ἄσβεστον οἱ μάγοι
sacred both forsooth and set-apart unquenched the magi
φυλάττουσι, καὶ ἐς ἐκεῖνο ἀφορῶντες τάς τε ἀπορρήτους
guard and to that looking the both secret
τελετὰς ἐκτελοῦσι, καὶ τῶν ἐσομένων πέρι ἀναπυνθάνονται.
rites perform and the future(-things) about inquire
τοῦτο δέ, οἶμαι, τὸ νόμιμον ἢ παρὰ Χαλδαίων ἢ ἐξ
this and I-think the usage either from Chaldeans or from
ἑτέρου του ἀνελέξαντο γένους. οὐ γὰρ δὴ τοῖς ἄλλοις
another some they-took-up race not for indeed with-the others
ξυμβαίνει. ὧδέ πως ἄρα αὐτοῖς ἡ δόξα, ἐκ πλείστων
it-agrees thus somehow then for-them the belief from most
ὅσων ἐθνῶν ἠρανισμένη, ὡς ποικιλώτατα ξύγκειται. καί
as nations contributed as most-variously is-composed and

μοι τοῦτο οὐκ ἄπο τρόπου δοκεῖ γεγενῆσθαι. ἄλλην γὰρ
to-me this not out-of place seems to-have-happened another for
οὕτω πολιτείαν οὐκ οἶδα ἐς πλείστας μορφάς τε καὶ
so polity not I-know to most forms both and
σχήματα μεταβαλοῦσαν, καὶ ἐν ταὐτῷ μένειν ἐπιπλεῖστον
shapes having-changed and in the-same to-remain for-very-long
οὐ διαρκέσασαν, ἀλλὰ μυρίων ἐθνῶν ἄλλοτε ἄλλων
not having-lasted but of-countless nations at-one-time others
ἐπικράτειαν δεξαμένην· τῷ τοι ἄρα καὶ εἰκότως πολλῶν
dominion having-received for-that surely then also reasonably of-many
ἰδεῶν τε καὶ νόμων γνωρίσματα σώζει. πρῶτοι μὲν γὰρ
forms both and of-laws tokens it-preserves first indeed for
ὧν ἀκοῇ ἴσμεν Ἀσσύριοι λέγονται ἅπασαν τὴν Ἀσίαν
of-whom by-hearsay we-know Assyrians are-said all — Asia
χειρώσασθαι, πλὴν Ἰνδῶν τῶν ὑπὲρ Γάγγην ποταμὸν
to-have-subdued except Indians the(-ones) beyond (the)-Ganges river
ἱδρυμένων. Νῖνός τε πρότερον φαίνεται καὶ βασιλείαν
settled Ninus both first appears also kingdom
ἐνταῦθα βεβαίαν καταστησάμενος, Σεμίραμίς τε αὖ μετ'
there secure having-established Semiramis and again after
ἐκεῖνον, καὶ ἑξῆς ἅπαντες οἱ τούτων ἀπόγονοι μέχρι
him and in-order all the of-these descendants until
καὶ ἐς Βελεοῦν τὸν Δερκετάδου. ἐς τοῦτον γὰρ δὴ τὸν
even to Beleus the of-Dercetades at this for indeed —
Βελεοῦν τῆς τοῦ Σεμιραμείου φύλου διαδοχῆς παυσαμένης,
Beleus the of-the Semiramian line succession having-ceased
Βελητάρας τις ὄνομα, φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν τοῖς
Beletaras some by-name gardener man and of-the in the
βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης, ἐκαρπώσατο
royal gardens keeper and overseer reaped
παραλόγως τὴν βασιλείαν, καὶ τῷ οἰκείῳ ἐνεφύτευσε
unexpectedly the kingship and in-the own planted

γένει, ὥς που Βίωνι γέγραπται καὶ Ἀλεξάνδρῳ τῷ
family as somewhere by-Bion has-been-written and by-Alexander the
Πολυΐστορι, ἕως ἐς Σαρδανάπαλον, ὡς ἐκεῖνοί φασι,
Polyhistor until at Sardanapalus as those say
τῆς ἀρχῆς ἀπομαρανθείσης, Ἀρβάκης ὁ Μῆδος καὶ
the empire having-withered Arbaces the Mede and
Βέλεσυς ὁ Βαβυλώνιος ἀφῄρηνται αὐτὴν τοὺς Ἀσσυρίους,
Belesys the Babylonian took-away it the Assyrians
καθελόντες τὸν βασιλέα, καὶ ἐς τὸ Μηδικὸν μετέστησαν
having-deposed the king and to the Median transferred
ἔθνος, ἔξ τε καὶ τριακοσίων ἤδη πρὸς τοῖς χιλίοις,
nation six both and three-hundred already in-addition-to the thousand
ἢ καὶ ὀλίγῳ πλειόνων, ἐτῶν παρῳχηκότων, ἐξ οὗ τὰ
or even little more years having-passed since which the
πρῶτα ὁ Νῖνος· τῶν ἐκείνῃ κατέσχεν πραγμάτων. οὕτω
first — Ninus of-the there took-hold affairs so
γὰρ Κτησίᾳ τῷ Κνιδίῳ τοὺς χρόνους ἀναγραψαμένῳ καὶ
for with-Ctesias the Cnidian the times having-recorded also
Διόδωρος ξύμφησιν ὁ Σικελιώτης. Μῆδοι τοίνυν αὖθις
Diodorus agrees the Sicilian Medes therefore again
ἐκράτουν, καὶ ἅπαντα τοῖς ἐκείνων ἐτάττοντο νόμοις.
ruled and all by-the their were-ordered laws
ἔτη δὲ καὶ τούτων ἐν τῇ ἀρχῇ διανυσάντων οὐ μεῖον
years and also these in the rule having-completed not less
ἢ τριακόσια, Κῦρος ὁ Καμβύσου τὸν Ἀστυάγην
than three-hundred Cyrus the of-Cambyses — Astyages
καταπολεμήσας, ἐπὶ Πέρσας τὴν ἡγεμονίαν μετήγαγε.
having-defeated to Persians the leadership transferred
πῶς δὲ οὐκ ἤμελλεν, Πέρσης τε ὢν αὐτὸς ἰθαγενής,
how and not was-he-going-to Persian both being himself native
καὶ ἅμα χαλεπαίνων τοῖς Μήδοις διὰ τὰς ξὺν
and at-once angry with-the Medes because-of the with

Ἀστυάγει παρατάξεις; κρατήσαντες δὲ καὶ οἱ Περσικοὶ
Astyages battles having-ruled and also the Persian
βασιλεῖς ὀκτώ τε καὶ εἴκοσι καὶ διακόσια ἔτη, καὶ
kings eight both and twenty and two-hundred years and
μέντοι καὶ ἡ τούτων ἀρχὴ τελεώτατα διερρύη, στρατῷ
however also the their empire most-completely melted-away by-army
ἐπηλύτῃ καὶ βασιλεῖ ἀλλοτρίῳ καταλυθεῖσα. Ἀλέξανδρος
foreign and by-king alien overthrown Alexander
γὰρ ὁ Φιλίππου Δαρεῖον ἀποκτείνας τὸν Ἀρσάμου, τὸν
for the of-Philip Darius having-killed the of-Arsames the
βασιλέα, καὶ ἅπασαν τὴν Περσίδα παραστησάμενος, ἐς
king and all — Persis having-brought-over to
Μακεδονικὴν τὰ πράγματα μετέθηκε πολιτείαν. οὕτω γὰρ
Macedonian the affairs transferred polity so for
ἦν μεγαλουργὸς ἐς τὰ μάλιστα καὶ ἀμαχώτατος, ὡς,
he-was doer-of-great-deeds in the most and most-unconquerable that
ἐπειδὴ αὐτὸν καὶ ἀποβιῶναι ξυνέβη, ὅμως τοὺς ἐκείνου
when him even to-die it-befell nevertheless the his
διαδόχους, Μακεδόνας γε ὄντας, κατασχεῖν ἐπιπλεῖστον
successors Macedonians at-least being to-hold for-very-long
τῆς ἀλλοδαπῆς καὶ ἀθνείας, καὶ ἐπὶ μέγα δυνάμεως
indeed then having-taken-up — John being-compelled and if
γε ἀντισταίη, τί ἂν γένοιτο ἐπὶ τούτοις;" "τί δὲ
at-least he-should-resist what — would-happen upon these what and
ἄλλο γε" ἔφη ὁ βασιλεὺς "ἢ πείσεται τὰ τῶν
else at-least said the emperor than he-will-suffer the(-things) of-the

τυράννων, καὶ κάκιστα ἀπολεῖται;" "οὐδὲν οὖν ἔσται
tyrants and most-wretchedly will-perish nothing then will-be
δέος" ἦ δὲ ὁ Ἰωάννης "τῷ τοῦτον ἀποκτενοῦντι;"
fear said and — John for-the(-one) him going-to-kill
"οὐμενοῦν" ἔφη "εἴ γε, ἀντιταττόμενος καὶ ἀνηκουστῶν,
none-at-all he-said if at-least resisting and disobeying
ὡς πολέμιος διαφθαρείη". τοιαῦτα δὲ τοῦ βασιλέως
as enemy he-should-be-killed such(-things) and the emperor
ἀποκριναμένου, καὶ παραπλήσια τούτων ἐν ἐπιστολῇ τοῖς
having-answered and similar(-things) to-these in letter to-the
στρατηγοῖς σημήναντος, οὐδὲν ἔτι ὁ Ἰωάννης περαιτέρω
generals having-signified nothing more — John further
ἀνεπυνθάνετο, ἀλλ' ἐπειλῆφθαι ἤδη καὶ ἔχεσθαι τοῦ
inquired but to-have-grasped already and to-hold the
ζητουμένου ἀποχρώντως ἡγούμενος, ἐπανῆκεν αὖθις ἐς
sought-for sufficiently thinking returned again to
Κόλχους τὸ γράμμα τοῦτο ἐπιφερόμενος· ὃ δὴ
Colchians the letter this carrying which indeed
Μαρτῖνός τε καὶ Ῥούστικος ἀναλεξάμενοι, καὶ μάλα
Martinus both and Rusticus having-read and very
εὐπρεπῶς ἐσκευωρῆσθαι τὸ δρᾶμα εὑρόντες, εὐθὺς ἐπὶ τὴν
speciously to-have-been-contrived the drama having-found at-once to the
πρᾶξιν ἐχώρουν. συγκαλεσάμενοι δὴ οὖν Ἰουστῖνόν τε
deed went having-called-together indeed then Justinus both
καὶ Βούζην καὶ τὸ μελετηθὲν ἀποκρύπτοντες, χρῆναι
and Buzes and the(-thing) planned concealing it-was-needful
ἔφασαν τὴν ταχίστην ὡς Γουβάζην ἰέναι, ξὺν αὐτῷ τε
they-said the quickest to Gubazes to-go with him and
βουλεύεσθαι ὅπως τοῖς ἐς Ὀνόγουριν Πέρσαις κοινῇ
to-take-counsel how the at Onoguris Persians in-common
ἐπελευσόμεθα. οἱ δέ, τούτοις πεπεισμένοι, ξυνεπορεύοντο.
we-will-attack they and by-these persuaded went-along

εἵπετο δὲ αὐτοῖς βραχεῖα τις ἐκ τῶν ταγμάτων ἀπόμοιρα·
followed and them small some from the units detachment
γνοὺς δὲ Γουβάζης ὡς αὐτίκα μάλα οἱ στρατηγοὶ
having-learned and Gubazes that at-once very the generals
ἐπ᾽ αὐτὸν ἥξουσι, καὶ οὐδὲν ὁτιοῦν ἀντίξουν ὑποτοπήσας,
to him will-come and nothing whatever adverse having-suspected
παραγίνεται ἀμφὶ τὸν Χωβοῦν τὸν ποταμόν. ἐνταῦθά
arrives about the Chobus the river there
τε αὐτοῖς ὁ δείλαιος ὑπαντιάζει ἀφύλακτός τε καὶ
and them the wretch meets unguarded both and
θαῤῥαλέος, καὶ λίαν ὀλίγους τῶν ὀπαδῶν ἐπαγόμενος, καὶ
confident and very few of-the attendants bringing and
τούτους ἀνόπλους καὶ οὐκ ἐς μάχην παρεσκευασμένους.
these unarmed and not for battle prepared
πῶς δὲ οὐκ ἂν οὕτως ἵκετο παρὰ φίλους τε καὶ
how and not — so would-be-come to friends both and
ξυνήθεις καὶ φύλακας τῆς χώρας καὶ ἥκιστα πολεμίους,
intimates and guardians of-the land and least enemies
μᾶλλον μὲν οὖν καὶ τῶν ὀθνείων ἐχθρῶν ἀλεξητῆρας;
rather indeed then even against-the foreign foes defenders
4 Οὕτω δὲ ἐπὶ τῶν ἵππων ἥμενοι ἅπαντες, διελέγοντο
so and on the horses sitting all conversed
ἀλλήλοις ὅπως τὰ παρόντα θετέον· καὶ τοίνυν ὁ
with-one-another how the present(-things) one-must-settle and therefore —
Ῥούστικος "ἄγε" ἔφη "ὦ Γουβάζη, ὅπως ἡμῖν συνάροιο
Rusticus come he-said O Gubazes see-that with-us you-join
καὶ συνεπιλήψῃ τοῦ πόνου κατὰ Περσῶν ἰοῦσι, τούτων
and take-part-in the toil against Persians going these
δὴ τῶν ἐς Ὀνόγουριν ἱδρυμένων. αἰσχρὸν γὰρ εἰ
indeed the(-ones) at Onoguris stationed shameful for if
καθεδοῦνται ἀδεῶς ἐπιπλεῖστον ἐν μέσῃ τῇ ἡμετέρᾳ χώρᾳ,
they-will-sit fearlessly for-very-long in middle the our land

καὶ ταῦτα ὀλίγιστοι ὄντες καὶ οὐδαμῶς ἀξιόμαχοι". "ἀλλ'
and that very-few being and in-no-way match but
ὑμᾶς γε μόνους" ἦ δὲ ὁ Γουβάζης "ἀνάγκη, ὦ
you at-least alone said and — Gubazes necessity O
γενναῖοι, ἐν τῷδε διαγωνίσασθαι, ὡς καὶ μόνους τῶν
noble(-ones) in this to-contend as also alone of-the(-things)
ξυνενεχθέντων αἰτιωτάτους. εἰ γὰρ μὴ ῥᾳστώνῃ πολλῇ
having-befallen most-responsible if for not with-ease much
ἀμφὶ τὰ πρακτέα εἴχεσθε καὶ ὀλιγωρίᾳ, οὔτ' ἂν τὸ
about the(-things) to-be-done you-were and with-neglect neither — the
φρούριον ἡμῖν τοῦτο ἐπετειχίζετο, οὔτε οὕτως ἀκλεᾶ
fortress against-us this would-be-built-up nor so inglorious
φυγὴν καὶ ἀσχήμονα ὑποστάντες ἐδραπετεύετε, οὔτε ἄλλο
flight and unseemly having-undergone you-would-run-away nor other
τι ἐγίγνετο τῶν οὐ προσηκόντων. νῦν δὴ οὖν, ὦ
any would-happen of-the(-things) not fitting now indeed then O
λῷστοι, εἴ γε δόξης ἐρασταὶ εἶναί φατε καὶ στρατηγικῷ
best(-men) if at-least of-glory lovers to-be you-say and in-generalship
φρονήματι γάννυσθε, τὸ παρειμένον ὑμῖν ἀνακλητέον.
spirit delight the neglected by-you must-be-recalled
ὡς ἔγωγε οὔ ποτε ἕψομαι, οὐδὲ ξυνδιακινδυνεύσαιμι,
as I not ever will-follow nor would-share-the-danger
πρὶν ἂν ἅπαντα ἐκθεραπευθείη πρὸς ὑμῶν τὰ
before — all be-made-good by you the(-things)
ἡμαρτημένα". τούτων δὲ εἰρημένων, αὐτίκα, ὥσπερ
erred these and having-been-said at-once as-if
τῆς ἀντιλογίας ἀποχρώσης πρὸς ἔλεγχον τοῦ μηδισμοῦ
the contradiction sufficing for proof of-the medism
καὶ τυραννίδος μεμελετημένης, ὁ Ἰωάννης ἐκεῖνος, ὁ
and tyranny planned — John that the
τῶν δεινῶν ἀγγελιαφόρος, σπασάμενος ἠρέμα τὸ
of-the terrible(-things) messenger having-drawn quietly the

ἐγχειρίδιον, παίει τὸν Γουβάζην ἀμφὶ τὸ στέρνον, οὔπω
dagger strikes — Gubazes about the breast not-yet
καιρίαν. ὁ δέ, (ἐτύγχανεν γὰρ ἐναλλάγδην ἔχων τὼ
mortally he and he-happened for crosswise having the
πόδε ὑπὲρ τὸν αὐχένα τοῦ ἵππου,) ἀθρόον κατέπεσεν,
two-feet over the neck of-the horse suddenly fell-down
οὐ τοσοῦτον, οἶμαι, τῇ πληγῇ τῆς χειρός, ὅσον τῷ
not so-much I-think by-the blow of-the hand as by-the
ἀπροσδοκήτῳ καταβεβλημένος. ἰλυσπώμενον δὲ αὐτὸν ἔτι
unexpected thrown-down writhing and him still
καὶ ἀναστησείοντα παραστὰς ὁ τοῦ Ῥουστίκου δορυφόρος,
and wanting-to-rise having-stood-by the — of-Rusticus guardsman
προστεταγμένον αὐτῷ, καὶ ξίφει πατάξας τὴν κεφαλήν,
it-having-been-ordered to-him also with-sword having-struck the head
τελεώτατα κατακτείνει. οὕτω μὲν οὖν τὸν Γουβάζην καὶ
completely kills so indeed then — Gubazes also
ἐπὶ τοῖσδε ἀνῃρῆσθαί φασιν οἱ τὰ ἀκριβέστατα
on these(-grounds) to-have-been-killed say the(-ones) the most-exact(-things)
γιγνώσκειν πεπιστευμένοι. Ἰουστῖνος δὲ καὶ Βούζης
to-know trusted Justinus and and Buzes
ἤσχαλλον μὲν καὶ ἐδυσφόρουν, καὶ ξυμφορὰν τὸ πραχθὲν
chafed indeed and were-vexed and calamity the deed
ἐποιοῦντο, ἡσυχίαν δὲ ὅμως ἦγον, οἰόμενοι βασιλέα
held quiet and nevertheless kept thinking emperor
Ἰουστινιανὸν ταῦτα σαφῶς ἐπιστεῖλαι. ὁ δὲ τῶν Λαζῶν
Justinian these(-things) plainly to-have-ordered the and of-the Lazi
ὅμιλος διεταράχθη τε ἅπας, καὶ δυσθυμίᾳ κατείχοντο,
throng was-confounded both all and by-despondency were-held
ὡς μηδὲ ἀναμίγνυσθαι τολοιπὸν τοῖς Ῥωμαίοις, μήτε
so-that not-even to-mix the-rest with-the Romans nor
ξυνεπιστρατεύειν αἱρεῖσθαι, ἀλλὰ τὸν νεκρὸν ᾗ νενόμισται
to-campaign-with to-choose but the corpse as is-customary

καταχώσαντες, ἔμενον οὕτω ἀπόμαχοι, ὡς δὴ δεινὰ
having-buried remained so out-of-the-fight as indeed terribly
ὑβρισμένοι καὶ τὴν πάτριον δόξαν ἀποβεβληκότες.
outraged and the ancestral glory having-lost
Μέγιστον γὰρ ἔθνος καὶ ἀγέρωχον οἱ Λαζοὶ καὶ μεγίστων 5
very-great for nation and proud the Lazi and very-great
ἄλλων κρατοῦσι, τῷ τε παλαιῷ τῶν Κόλχων ὀνόματι
others rule in-the both ancient of-the Colchians name
βρενθυόμενοι πέρα τοῦ μετρίου μεγαλαυχοῦσι, καὶ τάχα οὐ
swaggering beyond the measure they-boast and perhaps not
λίαν ἀλόγως. ἐν γὰρ τοῖς ἔθνεσι τοῖς ὅσα ὑφ' ἑτέραν
very unreasonably among for the nations the as-many-as under another
βασιλείαν τετάχαται, οὐκ οἶδα ἔγωγε ἄλλο οὕτω κλεινόν
kingdom are-ranged not know I other so famous
που φῦλον καὶ εὔδαιμον, πλούτου τε ὑπερβολῇ καὶ
anywhere tribe and prosperous of-wealth both in-excess and
πλήθει κατηκόων, τόπων τε εὐκαιρίᾳ καὶ ἀφθονίᾳ τῶν
in-number of-subjects of-places and in-advantage and in-abundance of-the
ἐπιτηδείων, καὶ τῇ τῶν ἠθῶν εὐκοσμίᾳ τε καὶ δεξιότητι.
necessities and in-the of-the manners orderliness both and cleverness
καὶ τοίνυν οἱ μὲν πάλαι οἰκήτορες τῶν ἐκ τῆς θαλάττης
and therefore the indeed of-old inhabitants of-the from the sea
ἀγαθῶν ἀγνῶτες παντάπασιν ἐτύγχανον ὄντες, οἷς γε
goods ignorant altogether happened being to-whom at-least
οὐδὲ ὄνομα νεὼς ἠκούετο, πρίν γε δὴ αὐτοῖς τὴν Ἀργὼ
not-even name of-ship was-heard before at-least indeed to-them the Argo
ἐκείνην ἐπιφοιτῆσαι. οἱ δὲ νῦν καὶ ναυτίλλονταί γε,
that to-come-upon the(-ones) and now both sail at-least
οὕτω παρασχόν, καὶ τὰ τῆς ἐμπορίας κομίζονται κέρδη.
so it-having-chanced and the of-the trade gain profits
εἰσί τε οὐ βάρβαροι τὸ λοιπόν, οὐδὲ οὕτω βιοτεύουσιν,
they-are and not barbarians the rest nor so live

ἀλλ᾽ ἐς τὸ πολιτικόν τε καὶ ἔννομον μεταβέβληνται τῇ
but to the civil both and law-abiding have-changed by-the
πρὸς Ῥωμαίους ἐπιμιξίᾳ· ὥστε εἴ τις τοὺς χαλκόποδας
with Romans intercourse so-that if anyone the bronze-footed
ταύρους περιέλοι, καὶ τὰς τῶν γηγενῶν ἀναβλαστήσεις,
bulls should-strip-away and the of-the earth-born sproutings
καὶ ὁπόσα ἄλλα τερατώδη καὶ ἄπιστα τῇ ποιήσει ἀμφὶ
and as-many-as other monstrous and incredible by-the poetry about
τῷ Αἰήτῃ κεκόμψευται, εὕροι γε ἂν τὰ παρόντα
— Aeetes have-been-embellished would-find at-least — the present(-things)
πολλῷ τῶν προτέρων ἀμείνονα. τοιοῦτοι δὴ οὖν
much than-the former better such indeed then
ὄντες οἱ Λαζοί, εἰκότως οὐκ ἀνεκτὰ ἡγοῦντο πεπονθέναι,
being the Lazi reasonably not bearable thought to-have-suffered
ὡς δὴ τὸν βασιλέα σφῶν παραλόγως ἀφῃρημένοι.
as indeed the king their unexpectedly having-been-robbed-of
αὐτίκα δὲ οἱ Ῥωμαῖοι, Μαρτίνου ἐξοτρύνοντος, ἠπείγοντο
at-once and the Romans Martinus urging hastened
πανσυδὶ ἐπιθέσθαι τοῖς ἐς Ὀνόγουριν Πέρσαις. τήνδε τὴν
in-full-force to-attack the at Onoguris Persians this the
ἐπωνυμίαν ἐκ παλαιοῦ ἔλαχεν τὸ χωρίον, Οὔννων ἴσως
name from of-old got the place Huns perhaps
ἐν τοῖς ἄνω χρόνοις, τῶν δὴ Ὀνογούρων ἐπιλεγομένων,
in the earlier times the indeed Onoguri called
αὐτοῦ που ξυμβαλόντων τοῖς Κόλχοις, καὶ εἶτα
there somewhere having-engaged the Colchians and then
νενικημένων, καὶ ὥσπερ μνημείου χάριν καὶ τροπαίου
having-been-conquered and as-it-were of-memorial for-the-sake and of-trophy
τὴν ἐπίκλησιν ταύτην τῶν ἐπιχωρίων ἐπενεγκόντων. νῦν
the name this the locals having-applied now
δὲ οὐχ οὕτω παρὰ τοῖς πολλοῖς ὀνομάζεται, ἀλλ᾽ ἐπειδὴ
and not so among the many is-named but since

Στεφάνου τοῦ θεσπεσίου ἱερὸν ἐνταῦθα ἵδρυται, ὃν δὴ
of-Stephen the divine shrine there is-set-up whom indeed
πρῶτον πάλαι φασὶν ὑπὲρ τῶν Χριστιανοῖς ἄριστα
first of-old they-say for the(-things) to-Christians best
δοκούντων ἐθελοντὴν διακινδυνεύσαντα ὑπὸ τῶν ἐναντίων
seeming voluntarily having-run-risk by the opponents
καταλευσθῆναι, τῷ ἐκείνου ὀνόματι καλεῖσθαι τὸν τόπον
to-be-stoned by-the his name to-be-called the place
νενόμισται. ἡμᾶς δὲ οὐδέν, οἶμαι, τὸ κωλύον, ἐς γνώρισμα
it-is-customary us and nothing I-think the bindering for token
τῇ ἀρχαιοτάτῃ χρῆσθαι προσηγορίᾳ, ἐπεὶ καὶ ξυγγραφῇ
the most-ancient to-use name since also history
μᾶλλον προσήκει. ὁ δὴ οὖν τῶν Ῥωμαίων στρατὸς
more it-befits the indeed then of-the Romans army
ἐς Ὀνόγουριν ἰέναι παρεσκευάζοντο.
to Onoguris to-go prepared
οἱ γὰρ τοῦ μιάσματος βουληφόροι ἐς τοῦτο ἐνέκειντο,
the for of-the pollution counselors to this pressed
ἐλπίζοντες ῥᾳδίως τοῦτο δὴ τὸ φρούριον καταστρέψασθαι·
hoping easily this indeed the fortress to-subdue
ταύτῃ τε τὸν βασιλέα, εἰ καὶ τὰ τοῦ δόλου γνοίη,
in-this-way and the emperor if even the(-things) of-the ruse he-should-learn
μὴ λίαν αὐτοῖς χαλεπῆναι, ἀλλὰ τῇ τελευταίᾳ πράξει ἐν
not very with-them to-be-angry but by-the last deed in
καιρῷ γιγνομένῃ, τὸ ἐπίκλημα διαλῦσαι. ἅπαντες τοιγαροῦν
time happening the charge to-dissolve all accordingly
οἵ τε στρατηγοὶ καὶ αἱ δυνάμεις ἐν τῷ Ἀρχαιοπόλεως πεδίῳ
the both generals and the forces in the of-Archaeopolis plain
στρατοπεδευσάμενοι, τούς τε καλουμένους σπαλίωνας
having-encamped the both called spalions
ἐπεσκεύαζον, καὶ τὰ τῶν μεγάλων λίθων ἀκοντιστήρια, καὶ
prepared and the of-the great stones engines and

ἄλλα ἄττα τοιάδε ὄργανα, ὡς, εἰ δεήσοι, τειχομαχήσοντες.
other some such instruments as if it-should-need going-to-fight-walls
ἔστι δὲ ὁ σπαλίων πλέγμα ἐκ λύγων ἐς ὀροφῆς τύπον
is and the spalion wickerwork of withes to of-roof form
ἐξειργασμένον, στεγανόν τε τῇ πυκνώσει καὶ ἀμφηρεφές,
worked watertight both by-the closeness and covered-all-round
τῷ ἑκατέρωθεν τὰ πλευρὰ ἐς τὰ κάτω παρατετάσθαι
by-the on-each-side the sides to the below to-stretch
καὶ περιβάλλειν τὸ ὑπερχόμενον. δέῤῥεις δὲ ὕπερθεν
and to-surround the(-one) going-under hides and above
καὶ διφθέρας ἐπιβάλλοντες πάντοθεν, περικαλύπτουσι τὸ
and skins throwing-on on-all-sides they-cover the
μηχάνημα, τοῦ μᾶλλον ἔρυμα εἶναι καὶ ἀποκρούειν τὰ
engine for-the more defense to-be and to-beat-off the
βέλη. ἄνδρες δὲ ἔνδον ἐν τῷ ἀσφαλεῖ ὑποκρυπτόμενοι,
missiles men and within in the safety hidden
αἴρουσί γε αὐτὸ ἀφανῶς, καὶ ᾗ βούλονται
lift at-least it unseen and where they-wish
διακομίζουσιν. ἐπειδὰν δὲ προσενεχθείῃ πύργῳ τυχὸν ἢ
carry-over when and it-is-brought-up to-tower perhaps or
περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι τὴν προσκειμένην γῆν
to-circuit-wall then indeed beneath they the adjacent earth
ἀνορύττοντες καὶ τὸν χοῦν ἀνιμώμενοι, ἀπογυμνοῦσι τὰ
digging-up and the soil drawing-up lay-bare the
θεμέλια, καὶ εἶτα μοχλοῖς τε καὶ σφύραις ἐνδελεχέστατα
foundations and then with-crowbars both and with-hammers most-constantly
πλήττοντες, κατασείουσιν τὴν οἰκοδομίαν. οὕτω μὲν οὖν
striking shake-down the building so indeed then
οἱ Ῥωμαῖοι τὰ ἐς πολιορκίαν παρεσκευάζοντο.
the Romans the(-things) for siege prepared

Ἐν τούτῳ δὲ ἁλίσκεταί τις Πέρσης ἀνὴρ ὑπὸ τῶν 6
in this and is-caught some Persian man by the
Ἰουστίνου δορυφόρων ἀνὰ τὸ φρούριον πορευόμενος.
of-Justinus guards toward the fortress going
ἐπεὶ δὲ ἐς τὸ στρατόπεδον ἐκεκόμιστο, ἠναγκάζετο
when and to the camp he-had-been-brought he-was-compelled
μαστιγούμενος ξὺν ἀληθείᾳ ἐρεῖν τὰ τῶν οἰκείων
being-whipped with truth to-tell the of-the own(-people)
βουλεύματα. καὶ δῆτα ἀπήγγελλεν, ὡς ὁ μὲν Ναχοραγὰν
plans and indeed he-reported that — indeed Nachoragan
ἐς Ἰβηρίαν ἤδη ἀφῖκται· αὐτὸν δὲ ἀπεσταλκὼς εἴη τὰ
to Iberia already has-come him and having-sent was the
ἐνταῦθα στρατεύματα ἐπιθαρσυνοῦντα, ὡς αὐτίκα μάλα
here armies going-to-encourage as at-once very
τοῦ στρατηγοῦ παρεσομένου. "οἱ δὲ ἐς Μουχείρισίν
the general going-to-be-present the and at Mucheirisis
τε καὶ Κοτάϊσιν τεταγμένοι Πέρσαι οὐκ ἐς μακρὰν
both and Cotaïsis posted Persians not to long
ἥξουσιν" ἔφη "προσβοηθήσοντες τοῖς ἐς Ὀνόγουριν
will-come he-said going-to-help the at Onoguris
ὁμοφύλοις, ἐγνωσμένον αὐτοῖς ὡς ἐπ' ἐκείνους
kinsmen it-having-become-known to-them that against them
ἰέναι διανοεῖσθε." τούτων δὲ εἰρημένων, αὐτίκα οἱ τῶν
to-go you-intend these and having-been-said at-once the of-the
Ῥωμαίων στρατηγοὶ ἐβουλεύοντο ἀμφὶ τῶν παρόντων.
Romans generals deliberated about the present(-things)
καὶ Βούζης μὲν ἔφασκεν χρῆναι πρότερον παντὶ τῷ
and Buzes indeed said to-be-needful first with-all the
στρατῷ ὑπαντιάζειν τοῖς ἐπερχομένοις. τούτων γάρ, ὡς
army to-meet the(-ones) coming-on these for as
τὸ εἰκός, διὰ τὴν ὀλιγότητα νικωμένων, ἑπόμενον εἶναι
the likely because-of the fewness being-conquered following to-be

τοὺς ἐν τῷ φρουρίῳ τάχιστα προσχωρήσειν, ἐρήμους
the(-ones) in the fortress quickest to-go-over deserted
γεγενημένους· εἰ δέ γε καὶ ἀντισταῖεν, ἀλλ' οὐδενὶ
having-become if and at-least even they-should-resist but with-no
πόνῳ διαφθαρῆναι. ἤρεσκε δὲ ταῦτα καὶ Οὐλίγαγγον,
toil to-be-destroyed pleased and these(-things) also Uligagus
τὸν τοῦ Ἐρουλικοῦ στρατεύματος ἡγεμόνα. τοιγάρτοι
the of-the Erulian army leader therefore
ἐκεῖνος θαμὰ ἐπεφθέγγετο παροιμιῶδές τι, βαρβαρικὸν
he often uttered proverbial something barbarian
μὲν καὶ ἀφελές, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον· ὡς
indeed and simple effective and nevertheless and useful that
δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα
it-is-needful first to-scare-off the bees and then
τὸ μέλι σχολαίτερον ἀναιρεῖσθαι. ὁ δὲ Ῥούστικος,
the honey more-leisurely to-take — and Rusticus
(θρασύτερος γὰρ ἤδη ἐγεγόνει καὶ τυραννικώτερος,
bolder for already had-become and more-tyrannical
ὥσπερ, οἶμαι, τῷ ἀδικήματι φρυαττόμενος καὶ τῇ
as I-think in-the crime exulting and in-the
πρὸς Μαρτῖνον ὁμοφροσύνῃ,) ἔσκωπτέ γε τὸν Βούζην
with Martinus concord mocked at-least — Buzes
ἀναφανδὸν καὶ ἐπεκερτόμει, ὡς οὐ πώποτε τὰ δέοντα
openly and taunted as not ever the needful(-things)
λογιζόμενον. κράτιστον δὲ ἔλεγεν εἶναι περιττῷ μὲν
reckoning best and he-said to-be in-superfluous indeed
πόνῳ τὸ στράτευμα ἥκιστα ἐπιτρίβειν, ἅπαντας δὲ τῷ
toil the army least to-wear-out all and the
φρουρίῳ πελάσαντας, ῥᾳδίως γε αὐτὸ καταστρέψασθαι,
fortress having-approached easily at-least it to-subdue
καὶ προτερῆσαι τὴν ἔξωθεν ἐπικουρίαν· ὀλίγους δέ, εἴ
and to-forestall the from-outside relief few and if

γε ἄρα, στέλλειν ἐπ᾽ ἐκείνους, τὸ τάχος τῆς ἐφόδου
at-least then to-send against them the speed of-the approach
διακωλύσοντας. καὶ ἦν μὲν πολλῷ ἀμείνονα τὰ
going-to-hinder and were indeed much better the(-things)
τῷ Βούζῃ βεβουλευμένα, καὶ τῆς φύσεως ἐχόμενα τῶν
— by-Buzes planned and to-the nature holding of-the
πραγμάτων, στρατηγίᾳ τε ἀρίστῃ πρέποντα, καὶ τὸ
affairs generalship and to-best befitting and the
δραστήριον ξὺν τῷ ἀσφαλεῖ παρεχόμενα. ἐπεὶ δέ, ὡς ἔοικεν,
effective with the safe providing since and as it-seems
ἅπασα ἡ πληθὺς τοῦ ἄγους μετειλήφει τῷ ξυνεῖναί τε
all the multitude of-the curse had-shared by-the to-be-with both
καὶ ἕπεσθαι τοῖς μιαιφόνοις, ἡ κακίων τε καὶ ἀξύμφορος
and to-follow the bloodstained the worse both and unprofitable
νενίκηκεν γνώμη, ὡς ἂν παραχρῆμα ὑπόσχοιεν δίκας.
prevailed counsel so-that — at-once they-might-pay penalty
στέλλονται μὲν γὰρ ἐπ᾽ ἐκείνους τοὺς ἐκ Μουχειρίσιδος
are-sent indeed for against those the(-ones) from Mucheirisis
ἐρχομένους ἄνδρες ἱππόται οὐ πλείους ἢ ἑξακόσιοι.
coming men horsemen not more than six-hundred
ἡγοῦντο δὲ αὐτῶν Δαβράγεζάς τε καὶ Οὐσίγαρδος,
led and them Dabragezas both and Usigardus
ἄμφω μὲν βαρβάρω τὸ γένος, Ῥωμαϊκῶν δὲ ταγμάτων
both indeed barbarians the race Roman and units
προεστηκότε. οἱ δὲ ἄλλοι ἅπαντες ἅμα τοῖς στρατηγοῖς
commanding the and others all with the generals
τῷ φρουρίῳ προσβαλόντες, εὐθὺς ἔργου εἴχοντο. τάς τε
the fortress having-attacked at-once to-the-work held the both
γὰρ μηχανὰς ἐκίνουν καὶ τῶν πυλῶν ἀπεπειρῶντο, καὶ
for engines moved and the gates tried and
ἀμφικυκλώσαντες τῷ πλήθει τὸν περίβολον, πάντοθεν
having-encircled with-the multitude the circuit-wall from-all-sides

ἐσηκόντιζον. οἱ δὲ Πέρσαι, ἀλλὰ γὰρ καὶ οὗτοι ἀνὰ τὰς
shot-in the and Persians but for also these along the
ἐπάλξεις διαθέοντες, ὡς οἷόν τε ἦν, ἐκ τῶν παρόντων
battlements running-about as able — it-was from the present(-things)
ἠμύνοντο, βέλη τε ἀφιέντες συχνὰ καὶ τὰ ἔκτοθεν
defended missiles both letting-fly many and the(-ones) from-outside
φυλαττόμενοι. ὀθόνας γάρ τινας καὶ ἁπλοΐδας ἐκ τοῦ
guarding-against linens for some and cloaks from the
μετεώρου κρεμάσαντες, ταύτῃ τὰς βολὰς ἀσθενεστέρας
height having-hung in-this-way the shots weaker
ἀπετέλουν, ἐν τοῖσδε πρότερον περιειργομένας· σπουδῇ
made in these first caught with-zeal
τε πολλῇ καὶ προθυμίᾳ κατ᾽ ἀλλήλων διεμάχοντο. καὶ
both much and eagerness against one-another they-fought and
εἴκασεν ἄν τις παρατάξει μᾶλλον ἢ πολιορκίᾳ
would-have-likened — anyone to-pitched-battle rather than to-siege
τὸ χρῆμα. τοσαύτη ἄρα ἦν ἑκατέρωθεν ἡ ταραχὴ καὶ
the thing so-great then was on-each-side the confusion and
ἡ τῶν ἔργων ἐπίδειξις· τῶν μὲν ὑπὲρ τῆς σφῶν
the of-the deeds display the(-ones) indeed for the their
σωτηρίας ἀγωνιζομένων, ὡς οὐ μετρίου περιστάντος
safety contending as not moderate having-surrounded
κινδύνου, τοῖς δὲ καὶ μάλα αἰσχρὸν εἶναι δοκοῦν,
danger to-the(-others) and also very shameful to-be seeming
ἅπαξ ἐπελθοῦσιν ἀπράκτοις ἐπανιέναι, καὶ μὴ οὐχί,
once having-attacked unsuccessful to-return and not not
παραστήσασθαι τὸ ἐπιτείχισμα, καὶ ἀπαλλάξαι τὴν
to-reduce the stronghold and to-rid —
Ἀρχαιόπολιν γειτονήματος πολεμίου.
Archaeopolis of-neighbor hostile

Οἱ δὲ ἄλλοι Πέρσαι ἐς τρισχιλίους ἱππότας 7
the and other Persians up-to three-thousand horsemen
μαχίμους ξυντεταγμένοι, ἄραντες ἔκ τε Κοταϊσίου
fighting drawn-up having-set-out from both Cotaïsis
καὶ Μουχειρίσιδος, ἐχώρουν ἐπὶ τὴν Ὀνόγουριν.
and Mucheirisis went to — Onoguris
πορευομένοις δὲ αὐτοῖς ἐκμελέστερον, καὶ οὐδενότι
marching and them rather-carelessly and nothing-whatever
πολέμιον διανοουμένοις, ἐσπίπτουσιν ἀθρόον οἱ ἀμφὶ
hostile expecting fall-upon suddenly the(-ones) about
τὸν Δαβράγεζαν καὶ Οὐσίγαρδον, καὶ τῷ αἰφνιδίῳ γε
— *Dabragezas and Usigardus and by-the suddenness at-least*
αὐτοὺς καταπλήξαντες, εὐθὺς ἐς φυγὴν ἔτρεψαν. τούτου
them having-dismayed at-once to flight turned this
δὲ ἀπηγγελμένου τοῖς πολιορκοῦσι Ῥωμαίοις, αὐτίκα οἵ
and having-been-reported to-the besieging Romans at-once they
γε θαῤῥαλεώτερον ἐπιφερόμενοι, τά τε παραπετάσματα
at-least more-boldly pressing-on the both screens
ἐκεῖνα καθεῖλκον, καὶ ξὺν ἀκοσμίᾳ πολλαχοῦ τοῦ
those pulled-down and with disorder in-many-places of-the
τείχους διεσκεδάννυντο, ὡς ῥᾳδίως τολοιπὸν τὰ τῇδε
wall scattered as easily the-rest the(-things) here
ἅπαντα διαρπασόμενοι, ἅτε δὴ τῶν ἔξωθεν δυσμενῶν
all going-to-plunder as indeed the from-outside enemies
πεφευγότων, καὶ οὐδενὸς ἔτι ἐνοχλήσοντος. ἀλλ᾽ ἐκεῖνοι
having-fled and no-one still going-to-trouble but they
τάχιστα καταμαθόντες, ὡς οὐχ ἅπας αὐτοῖς ὁ τῶν
quickest having-learned that not all against-them the of-the
Ῥωμαίων ἐπῆλθεν στρατός, ᾗπερ τὴν ἀρχὴν ᾠήθησαν,
Romans came army as-very the beginning they-thought
ὀλίγοι δὲ σφόδρα καὶ ὅσοι κατάσκοποι μᾶλλον ἢ
few and very and such-as scouts rather than

πολεμισταὶ ἀξιόχρεοι νομισθῆναι, ἐπιστρέφουσιν ἐξαπιναίως
fighters worthy to-be-thought turn suddenly
ἐπ᾽ αὐτοὺς ἀλαλάζοντες. οἱ δὲ τὴν μεταβολὴν οὐκ
against them raising-the-war-cry they and the reversal not
ἐνεγκόντες, ἐς παλίωξιν μετεχώρουν, καὶ πολλῇ ἔφευγον
having-borne to counter-rout changed and great fled
ξὺν ταχυτῆτι. ἕποντο δὲ αὐτοῖς ὡς πλησιαίτατα καὶ
with speed followed and them as nearest also
οἱ Πέρσαι διώκοντες, ὥστε ἀμέλει ξυνενεχθῆναι, τῶν
the Persians pursuing so-that certainly to-befall these
μὲν ἑλεῖν, τῶν δὲ ἀποδιδράσκειν ἐπειγομένων, ἄμφω,
indeed to-catch those and to-escape hastening both
τούς τε φεύγοντας ἅμα καὶ τοὺς ἐς τὴν δίωξιν
the both fleeing at-once and the(-ones) on the pursuit
ἐγκειμένους, παρὰ τὰ ἄλλα τῶν Ῥωμαίων στρατεύματα
pressing to the other of-the Romans armies
μιγάδην ἰκέσθαι. θορύβου δὲ πολλοῦ, ὡς τὸ εἰκός,
mingled to-come uproar and much as the likely
ἀναστάντος, ἅπαν δὴ τὸ πλῆθος, περιφρονήσαντες τὴν
having-arisen all indeed the multitude having-disregarded the
πολιορκίαν καὶ τὴν ὅσον οὔπω ἐλπισθεῖσαν ἔσεσθαι
siege and the as-much not-yet hoped to-be
πόρθησιν τοῦ φρουρίου, καὶ δὴ ξὺν τοῖς στρατηγοῖς
sack of-the fortress and indeed with the generals
ἀπιόντες ᾤχοντο, οὔτε διαγνῶναι ἀναμείναντες ὅ, τι
departing went-off nor to-discern having-waited what ever
ποτέ ἐστι τὸ γεγενημένον, ἢ ὁπόσοι ὄντες αὐτοί, εἶτα
at-all is the event or how-many being themselves then
ὑφ᾽ ὅσων ἐλαύνονται. ἀλλ᾽ ᾔεσαν οὕτω δρομαῖοι καὶ
by how-many are-driven but went so at-a-run and
διεταράττοντο, καθάπερ πανικοῦ δείματος ἐμπεσόντος.
were-confounded just-as panic terror having-fallen-on

οἱ δὲ Πέρσαι κατὰ τὸ μᾶλλον θαρσήσαντες, πλέον
the and Persians by the more having-taken-courage more
ἐδίωκον. ἐπεὶ καὶ οἱ ἐν τῷ φρουρίῳ (ἐθεῶντο γὰρ
pursued since also the(-ones) in the fortress they-watched for
τὰ ποιούμενα,) ἐκβάντες ἀθρόον ἀνεμίγνυντο τοῖς
the(-things) being-done having-come-out all-together mingled with-the
ἄλλοις, ὁμόσε τε τολοιπὸν ἐπισπόμενοι, λαμπροτέραν
others to-close-quarters and the-rest following more-brilliant
τὴν φυγὴν τῶν ἐναντίων εἰργάσαντο. καὶ ὅσον μὲν
the flight of-the opponents made and as-much-as indeed
ἱππικὸν τῶν Ῥωμαίων, ῥᾳδίως ἐκεῖνοι ἔξω βελῶν
cavalry of-the Romans easily they out-of missiles
ἀπεκομίσθησαν, ὠκύτατα διαθέοντες· τοῦ δὲ πεζοῦ
got-away most-swiftly running-through of-the and foot
ὁμίλου πολλοὶ ἀπεκτείνοντο πιεζόμενοι τῇ γεφύρᾳ τοῦ
throng many were-killed crowded on-the bridge of-the
Καθαροῦ λεγομένου ποταμοῦ, δι᾽ ἧς ἔδει πάντως
Pure called river through which it-was-needful by-all-means
πορεύεσθαι. ἐνταῦθα γὰρ διὰ τὴν στενότητα πολλοὶ
to-pass there for because-of the narrowness many
ἅμα περαιοῦσθαι οὐχ οἷοί τε ὄντες, ὠθίζοντο ἀλλήλους
at-once to-cross not able — being jostled one-another
καὶ ἀντώθουν. καὶ οἱ μὲν αὐτῶν ἐς τὰ τοῦ ποταμοῦ
and shoved-back and some indeed of-them into the of-the river
ἐξέπιπτον ῥεῖθρα, οἱ δὲ ἀνελιττόμενοι ἐς τὰ ὀπίσω καὶ
fell-out streams others and turning-back to the rear and
ὑπονοστοῦντες, ὑπὸ τὰς τῶν πολεμίων ἐγίγνοντο χεῖρας.
withdrawing under the of-the enemies came hands
καὶ ἦν ἀπανταχοῦ κάκιστα κακίστοις ἀνακεκραμένα.
and were everywhere worst(-things) with-worst mixed
ἴσως δὲ ἂν ἅπαντες ἐν τῷ τότε πανωλεθρίᾳ διεφθάρησαν,
perhaps and — all in the then utter-ruin would-have-perished

εἰ μὴ Βούζης ὁ στρατηγός, βοώντων γε αὐτῶν καὶ
if not Buzes the general shouting at-least them and
ὀλοφυρομένων, ξυνεὶς τὸ μέγεθος τοῦ κινδύνου,
lamenting having-understood the greatness of-the danger
ἐπιστρέψας ἅμα τῇ οἰκείᾳ δυνάμει, καὶ ἀντιταξάμενος
having-turned-back with the own force and having-faced
τοῖς βαρβάροις, ἀνέκοψεν ἠρέμα τὴν δίωξιν, ἕως ἐκεῖνοι
the barbarians checked gradually the pursuit until they
τὴν γέφυραν διαβάντες, ἐν τῷ ἀσφαλεῖ μόλις ἐγένοντο,
the bridge having-crossed in the safety scarcely came
ᾗπερ καὶ οἱ ἄλλοι ἅπαντες. ἐν μὲν γὰρ τῷ προτέρῳ
where-very also the others all in indeed for the former
στρατοπέδῳ, ὃ δὴ ἀγχοῦ Ἀρχαιοπόλεως ἐπεποίηντο,
camp which indeed near Archaeopolis they-had-made
οὐδεὶς ὅστις αὐτῶν ἐπανῆκε. παραδραμόντες δὲ τοῦτο
no-one whoever of-them returned having-run-past and this
ὑπὸ τοῦ δέους, καὶ ἅπαντα ὁπόσα ἐπήγοντο ἐδώδιμά τε
from the fear and all as-many-as they-brought eatables both
καὶ ἄλλως ἀναγκαῖα καὶ τίμια ἐνταῦθα καταλελοιπότες,
and otherwise necessary and precious there having-left
καὶ ἐν τοῖς ἐνδοτέρω χωρίοις ἀποσεσωσμένοι, οὐ μόνον
and in the further-inland places having-saved-themselves not only
εὐκλεᾶ καὶ ἀγέρωχον, μᾶλλον μὲν οὖν καὶ κερδαλέαν
glorious and proud rather indeed then also profitable
τὴν νίκην τοῖς πολεμίοις παρέσχοντο.
the victory to-the enemies they-afforded

The Persians plunder the Roman camp and withdraw. The Lazi meet in secret to decide whether to go over to Persia. Aeetes argues that the Romans have murdered their king and proved themselves faithless allies. Phartazes answers that to join the Persians would cost them their Christian faith, that the crime was the work of a few, and that they should seek justice from the emperor. Aeetes' speech had first roused the crowd to defect at once.

Οὗτοι γὰρ ἀνδρῶν ἔρημα τὰ ἐκείνῃ πεδία εὑρόντες, 8
these for of-men empty the there plains having-found
διέλυσάν τε τὸ χαράκωμα, καὶ ἅπαντα τὰ ἐντὸς
broke-up both the stockade and all the(-things) within
ληϊσάμενοι, οὕτω δὴ γεγηθότες ἐπανῆλθον εἰς τὰ
having-plundered so indeed rejoicing returned to the
οἰκεῖα, καὶ τῆς προτέρας αὖθις χώρας ἐκράτουν. καίτοι
own(-places) and the former again land held and-yet
πῶς οὐ λίαν ἀρίδηλον, ὡς θεῖόν τι μήνιμα τοῦ ἀνοσίου
how not very clear that divine some wrath the unholy
αἵματος ἕκατι τὰ Ῥωμαίων ἔσφηλε πλήθη, οἵ γε
blood for-the-sake-of the of-Romans overthrew multitudes who at-least
ἐβουλεύσαντό τε τὰ χείριστα, καὶ ὄντες οὐ μεῖον ἢ
planned both the worst(-things) and being not less than
πέντε μαχίμων ἀνδρῶν μυριάδες, ὑπὸ τρισχιλίων Περσῶν
five fighting of-men ten-thousands by three-thousand Persians
ἀγεννῶς οὕτω πεφεύγασι, πλείστους ὅσους ἀποβεβληκότες;
ignobly so have-fled most as having-lost
πλὴν ἀλλ' αὐτοί γε οἱ τῆς μιαιφονίας ἐργάται οὐκ ἐς
except but themselves at-least the of-the bloodshed workers not to
μακρὰν τὴν τελεωτάτην ἀνέπλησαν δίκην, ὡς προϊόντες
long the most-complete filled-up penalty as going-on
ἀφηγησόμεθα. τότε δὲ χειμῶνος ἐπιλαβομένου, ἀνὰ τὰ
we-will-relate then and winter having-come-on through the

πολίσματά τε καὶ φρούρια ἅπας ὁ στρατὸς ἐσκεδάννυτο,
towns both and fortresses all the army was-scattered
ἦπερ ἑκάστῳ διαχειμάζειν ἐτέτακτο. ἐν τούτῳ δὲ
where-very for-each to-winter had-been-ordered in this and
τὰ τῶν Κόλχων πράγματα ἀμφίβολά γε ἦν ἐς τὰ
the of-the Colchians affairs doubtful at-least were in the
μάλιστα καὶ τεταραγμένα. τοιγάρτοι καὶ ἅπαντες οἱ
most and disturbed therefore also all the(-ones)
ἐν τέλει διηπόρουν, τίνες ἂν γένοιντο καὶ ὅποι
in authority were-at-a-loss what — they-should-become and whither
τραπεῖεν. καὶ οὖν ὑπό τινα φάραγγα τοῦ Καυκάσου
they-should-turn and then under some ravine of-the Caucasus
ἀγείραντες ἐν ἀπορρήτῳ τὸ πλεῖστον τοῦ ἔθνους, ὡς
having-gathered in secret the most of-the nation so-that
ἂν μὴ ἔκπυστα εἴη τοῖς Ῥωμαίοις τὰ μελετώμενα,
— not known might-be to-the Romans the(-things) being-planned
βουλὴν προὐτίθεντο, πότερον ἐπὶ Πέρσας μεταχωρητέον,
counsel they-proposed whether to Persians one-must-go-over
ἢ μενετέα ἔτι παρὰ Ῥωμαίοις. αὐτίκα δὲ πολλοὶ
or one-must-remain still with Romans at-once and many
ἀπερρίπτοντο λόγοι, οἱ μὲν ἐπὶ τάδε, οἱ δὲ ἐπὶ
were-thrown-out words some indeed to these(-things) others and to
θάτερα προκαλούμενοι. ἦν δὲ ἄκριτος ἡ βοὴ καὶ
the-other(-things) calling was and confused the shouting and
ταραχώδης, μήτε τοῦ λέγοντος ὅστις εἴη, μήτε ὅ, τι
tumultuous neither the(-one) speaking who he-was nor what ever
ποτὲ λέγοι, διαγιγνωσκομένου σαφῶς. τότε δὴ οὖν οἱ
at-all he-said being-distinguished clearly then indeed then the
δυνατώτατοι σιγὴν μὲν τοῖς πλήθεσιν ἔχειν παρεκελεύοντο,
most-powerful silence indeed to-the multitudes to-keep urged
παριέναι δὲ τὸν βουλόμενον ἐν κόσμῳ καὶ τὸ
to-come-forward and the(-one) wishing in order and the(-thing)

πρακτέον διεξιέναι ὅστις ἂν οἷός τε ᾖ. ἀνὴρ δέ τις τῶν
to-be-done to-set-out whoever — able — be man and some of-the
λογιμωτάτων, Αἰήτης ὄνομα, ἐδυσφόρει μᾶλλόν τι
most-notable Aeetes by-name was-vexed more somewhat
ἁπάντων καὶ ἐχαλέπαινεν ἐπὶ τῷ ξυνενεχθέντι, ὢν μὲν καὶ
than-all and was-angry at the event being indeed also
ἄλλως μισορώμαιος, καὶ τὰ Περσῶν ἀεὶ προσιέμενος.
otherwise Roman-hating and the(-things) of-Persians always favoring
τότε δὲ καὶ πλέον τῷ εὐπροσώπῳ τῆς αἰτίας ἀποχρώμενος,
then and even more the plausibility of-the cause exploiting
ἐξαίρειν ἐπειρᾶτο πέρα τοῦ προσήκοντος τὸ γεγενημένον·
to-magnify tried beyond the fitting the event
καὶ οὐδὲ βουλῆς ἔφασκεν δεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλ᾽
and not-even counsel he-said to-be-needed on the present(-things) but
εὐθὺς ἐς τελεώτατον μηδισμὸν καταστῆναι. τῶν δὲ ἄλλων
at-once to most-complete medism to-settle the and others
μὴ χρῆναι λεγόντων οὕτω δή τι ἐξαπίνης τὸν
not to-be-needful saying so indeed somewhat suddenly the
βίον ὅλον μετασκευάσασθαι, πρὶν δὴ σχολαίτερον σφίσι
life whole to-change before indeed more-leisurely to-them
βουλευομένοις τὸ λῷον ἀναφανείη, ὁ δὲ ἀναστὰς σὺν
deliberating the better should-appear he and having-stood-up with
ὀργῇ, καὶ προπηδήσας ἐς μέσους, ἐδημηγόρει καθάπερ
anger and having-leapt-forward into middle harangued just-as
ἐν δημοκρατικῷ βουλευτηρίῳ. ἦν γὰρ καὶ λέγειν δεινὸς
in democratic council-chamber he-was for also to-speak clever
πλέον ἢ κατὰ βαρβάρους, καὶ οἷος τοῖς νοήμασι
more than for barbarians and such-as with-the thoughts
ῥητορεύειν φύσεως δεξιότητι. καὶ τοίνυν ἔλεξε τοιάδε·
to-play-the-orator of-nature by-cleverness and therefore said such(-things)

9 “Εἰ μὲν ἐν λόγοις ἡμᾶς καὶ βουλαῖς ἠδίκουν Ῥωμαῖοι,
if indeed in words us and plans were-wronging Romans
καλῶς ἂν καὶ ἡμεῖς τοῖς ὁμοίοις αὐτοὺς ἀμυνόμενοι
well — also we with-the like them repelling
διετελοῦμεν· νῦν δὲ πῶς ἀνεκτόν, τοὺς μὲν ἤδη τὰ
would-continue now and how bearable them indeed already the
πάντων δεινότατα δεδρακέναι, ἡμῖν δὲ τὸν τοῦ ἀντιδρᾶσαι
of-all most-terrible to-have-done for-us and the of-the to-retaliate
καιρὸν εἰς τὸ μέλλειν καὶ βουλεύεσθαι διαῤῥυῆναι; οὐ γὰρ
moment into the to-delay and to-deliberate to-slip-away not for
δὴ πάρεστι λέγειν ὡς πολέμιοι μὲν οὔπω τοῖς ἔργοις
indeed it-is-possible to-say that enemies indeed not-yet in-the deeds
ὄντες πεφώρανται, εἰκασθεῖεν δὲ ἂν μόνον μελετῶσι
being have-been-detected might-be-guessed and — only planning
τοῦτο καὶ βουλομένοις, οὐδὲ τεκμηρίων τινῶν ἐπιμνησθῆναι
this and wishing nor proofs any to-mention
δεήσει πρὸς ἔλεγχον δῆθεν ἐπιβουλῆς λανθανούσης.
it-will-be-needful for proof forsooth of-plot lurking
ἀλλὰ Γουβάζης μέν, ὁ τηλικοῦτος, οὕτω πως ἀθλίως
but Gubazes indeed the so-great so somehow wretchedly
ἠφάνισται ὥσπερ τις τῶν πολλῶν καὶ ἠμελημένων.
has-been-made-away-with like some of-the many and neglected
οἴχεται δὲ φροῦδον τὸ παλαιὸν τῶν Κόλχων ἀξίωμα,
is-gone and vanished the ancient of-the Colchians dignity
καὶ τολοιπὸν οὐ τοῦ ἄρχειν ἑτέρων ἀνθεκτέον ἡμῖν,
and the-rest not the to-rule others one-must-cling-to by-us
ἀλλ’ ἀγαπητέον εἴπερ ἐξῇ τῶν πρώην ὑπηκόων
but one-must-be-content if-indeed it-be-possible than-the lately subjects
μὴ σφόδρα μειονεκτεῖσθαι. πῶς οὖν οὐ λίαν παράλογον,
not very to-have-less how then not very absurd
εἰ περὶ τῶν οἷς ταῦτα κατείργασται καθεδούμεθα
if about those by-whom these(-things) have-been-done we-will-sit

διασκοποῦντες, πότερον αὐτοὺς ἐχθίστους ἢ φίλους εἶναι
examining whether them most-hostile or friends to-be
κρινοῦμεν; καίτοι γιγνώσκειν χρεών, ὡς οὐδὲ μέχρι
we-will-judge and-yet to-know needful that not-even at
τούτων αὐτοῖς τὸ θράσος ἑστήξει· ἀλλά, καὶ μεθιέντων
these for-them the boldness will-stop but even letting-go
ἡμῶν τὸ ἐπίκλημα οἵδε οὐκ ἀφέξονται, καὶ ἠρεμοῦντας
us the charge these not will-refrain and quiet(-us)
ἀδεέστερον λυμανοῦνται. εἰσὶ γὰρ ἀμέλει θαῤῥαλεώτεροι
more-fearlessly will-maltreat they-are for certainly bolder
πρὸς τοὺς ὑπείκοντας, καὶ ὑπερφρονεῖν εἰθισμένοι τὸ
toward the(-ones) yielding and to-despise accustomed the
θεραπεῦον. ἔχουσι δὲ καὶ βασιλέα πανουργότατον, καὶ
submissive they-have and also emperor most-unscrupulous and
ταῖς μεταβολαῖς τῶν ἀεὶ παρόντων ἡδόμενον· ὅθεν δὴ
in-the changes of-the ever present(-things) delighting whence indeed
καὶ τὰ τῆς μιαιφονίας ἀθρόον διήνυσται, τοῦ
also the(-things) of-the bloodshed suddenly have-been-done the(-one)
μὲν ἐμβριθῶς ἐγκελευσαμένου, τῶν δὲ προθύμως
indeed gravely having-ordered the(-others) and eagerly
ὑπηρετησάντων. καὶ πεπορθήμεθα μονονουχὶ πρὸς αὐτῶν,
having-served and we-have-been-sacked all-but by them
οὔτε ἀδικήματος ἄρξαντες, οὔτε τινὸς ἔχθους συμβάντος,
neither wrong having-begun nor any enmity having-arisen
ἀλλ᾽ ὁποίας πρότερον εἴχοντο συνηθείας, τῆς αὐτῆς
but such-as before they-held familiarity the same
ἔχεσθαι δοκοῦντες, πεπράγασιν ὅμως τὰ πάντων
to-hold seeming they-have-done nevertheless the of-all
ἀνοσιώτατα, ὥσπερ αὐθωρὸν ἀναπλησθέντες ὠμότητος
most-unholy as-if in-an-instant filled-up with-cruelty
καὶ μανίας καὶ μίσους καὶ πάντων ὁμοῦ τῶν τοιῶνδε.
and madness and hate and all together the such(-things)

ἀλλ᾽ οὐ τὰ Περσῶν ἤθη τοιάδε, πολλοῦ γε καὶ δεῖ.
but not the of-Persians manners such much at-least even it-lacks
φίλους τε γὰρ οὓς ἂν ἐξαρχῆς κτήσαιντο βεβαιότατα
friends both for whom — from-the-start they-may-gain most-steadfastly
στέργειν πειρῶνται, καὶ τὴν ὀργὴν πρὸς τὸ ἀντίπαλον
to-love they-try and the anger toward the hostile
διατηροῦσιν ἔστ᾽ ἂν ἀντίπαλον ᾖ. ἠβουλόμην μὲν οὖν
maintain until — hostile it-be I-could-wish indeed then
τῇ Κολχικῇ πολιτείᾳ τὴν παλαιὰν δύναμιν προσγενέσθαι,
for-the Colchian polity the ancient power to-be-added
ὡς μηδαμῶς αὐτὴν ξένης τινὸς καὶ ἐπήλυδος ἐπικουρίας
so-that in-no-way it foreign any and imported help
προσδεῖσθαι, ἀλλ᾽ εἶναι τοῖς πᾶσιν ἔς τε πόλεμον καὶ ἐς
to-need but to-be in-the all(-things) for both war and for
εἰρήνην αὐταρκεστάτην. ἐπεὶ δέ, εἴτε χρόνου διαφορᾷ, εἴτε
peace most-self-sufficient since and whether of-time by-change or
τύχης ἐναντιώμασιν, εἴτε καὶ ἀμφοτέροις, ἐκβιασθέντες,
of-fortune by-reverses or also by-both forced
εἰς τοῦτο ἥκομεν ἀσθενείας, ὡς ὑφ᾽ ἑτέροις τετάχθαι,
to this we-have-come of-weakness that under others to-be-ranged
κράτιστον οἶμαι προσχωρεῖν τοῖς ἐμφρονεστέροις, καὶ
best I-think to-go-over to-the more-sensible and
τὴν εὔνοιαν πρὸς τὸ οἰκεῖον καὶ ἔνσπονδον ἐν τῷ
the goodwill toward the own and allied in the
ἀτρέπτῳ παρεχομένοις. οὕτω δὲ καὶ περιεσόμεθα
unswerving providing so and also we-will-prevail-over
τῶν ὡς ἀληθῶς πολεμίων, τῷ μήτε παντάπασι τὸ
the as truly enemies by-the neither altogether the
φθάσαν ἀτιμώρητον καταλειφθῆναι, καὶ τοῦ μέλλοντος
past unavenged to-be-left and the future
πέρι, ὅπως ἐν τῷ ἀσφαλεῖ κείσεται, τὰ δέοντα
about how in the safety will-lie the needful(-things)

παρεσκευάσθαι. τὸ μὲν γὰρ ὕπουλον ἐκεῖνο τοῦ τρόπου
to-have-been-prepared the indeed for festering that of-the manner
καὶ βωμολόχον, ὃ προβαλλόμενοι μετὰ πραότητος
and buffoonish which putting-forward with mildness
δολερᾶς καὶ ὁμιλίας μεμηχανημένης τοὺς πιστεύοντας
deceitful and intercourse contrived the(-ones) trusting
ἀδικοῦσι, περιττὸν ἔσται καὶ ἀνόνητον, καὶ οὐχ ἕξουσιν
they-wrong superfluous will-be and useless and not they-will-have
ὅπως αὐτῷ χρήσονται καθ᾽ ἡμῶν διὰ τὸ ἄμικτον
how it they-will-use against us because-of the unmixed
τῆς δυσμενείας καὶ περιφανῶς ἀποκεκριμένον. εἰ δὲ καὶ
of-the hostility and conspicuously separated if and even
πολεμεῖν πειραθεῖεν, ἀλλὰ πρὸς Λαζοὺς ἅμα καὶ Πέρσας
to-make-war they-should-try but against Lazi at-once and Persians
παραταττόμενοι, καὶ ταῦτα ἐν πολεμίᾳ γῇ, τὸ γοῦν
drawn-up and that in hostile land the at-any-rate
ἐντεῦθεν, οὐκ ἂν οὐδὲ τὴν ὁρμὴν ὑποσταῖεν. οἵ γε
from-here not — not-even the onset would-withstand who at-least
καὶ ἀρτίως παντὶ τῷ στρατῷ μοίρᾳ τινὶ τῶν Μήδων
even lately with-all the army with-portion some of-the Medes
ἐλαχίστῃ προσμίξαντες καὶ πρὸς φυγὴν εὐθὺς αἰσχίστην
smallest having-engaged and to flight at-once most-shameful
τραπέντες, μέχρι καὶ νῦν μονονουχὶ πνευστιῶσιν ὑπὸ τοῦ
having-turned until even now all-but pant from the
δρόμου, ἅπασι μὲν ὡς εἰπεῖν τοῖς ἄλλοις ἐλαττωθέντες,
running in-all indeed so-to to-speak the other(-things) worsted
μόνῳ δὲ τῷ τάχει τοὺς διώκοντας νενικηκότες.
alone and by-the speed the pursuers having-beaten
“Τούτου δὲ τὸ μὲν ἐμφανὲς καὶ προχειρότατον αἴτιον 10
of-this and the indeed obvious and most-ready cause
ἀνανδρίαν εἴποι τις ἄν, καὶ τὸ μὴ τὰ προσήκοντα
cowardice would-say anyone — and the not the fitting(-things)

βεβουλεῦσθαι. πρόσεστι γὰρ αὐτοῖς ὡς ἀληθῶς καθάπερ
to-have-planned belong for to-them as truly just-as
οἰκεῖα καὶ συγγενῆ καὶ τὰ τοιαῦτα ὀνείδη· πλὴν ἀλλὰ
own and inborn also the such reproaches except but
τοῖς ἐκ φύσεως μοχθηροῖς τὸ αὐθαίρετον ἀδίκημα
to-the(-ones) by nature wretched the self-chosen crime
προστεθέν, ἐδιπλασίασεν αὐτοῖς τὸ ἀτύχημα, τῆς τοῦ
added doubled for-them the misfortune from-the of-the
κρείττονος προμηθείας διὰ τὸ ἄγος ἐκπεπτωκόσι. τὸ
higher providence because-of the curse having-fallen the
γὰρ νικᾶν οὐχ οὕτω τοῖς ὅπλοις, ὅσον τῷ εὐσεβεῖ
for to-conquer not so by-the arms as by-the pious
βεβαιοῦται· καὶ οὐκ ἄν ποτε μετεῖναι φήσαιμι τῆς τοῦ
is-secured and not — ever to-have-a-share I-would-say in-the of-the
ἀγαθοῦ συμμαχίας πονηροῖς ἀνδράσι καὶ μιαρωτάτοις.
good alliance for-wicked men and most-polluted
τούτοις οὖν, εἴπερ εὖ φρονοῦμεν, οὐ προσεκτέον, οἷς
to-these then if-indeed well we-think not one-must-adhere with-whom
οὔτε τὰ τῆς γνώμης ἄριστα σύγκειται, καὶ τὸ σώζειν
neither the(-things) of-the mind best are-composed and the to-save
ἅπαντα πεφυκὸς νεμεσᾷ. ὡς μὲν οὖν ἡ προσχώρησις
all disposed is-indignant that indeed then the going-over
ἡμῖν εὔκολος ἔσται καὶ προσφορωτάτη καὶ τῷ κρείττονι
for-us easy will-be and most-advantageous and to-the higher
κεχαρισμένη, διὰ τῶν πραγμάτων μᾶλλον ἢ τῶν
pleasing through the deeds rather than the
λόγων δεδήλωται. οὐ μὴν οὐδὲ ἀδικεῖν δόξοιμεν
words has-been-shown not truly nor to-do-wrong we-would-seem
ἄν, οὐδὲ ἄπιστοι καθεστάναι. πολλάκις γὰρ ἤδη καὶ
— nor faithless to-be often for already also
πρότερον ὑπὸ Ῥωμαίων προπηλακιζόμενοι, ἐμμένειν καὶ
before by Romans being-insulted to-abide even

ὡς τοῖς καθεστηκόσιν ἡγούμεθα χρῆναι, φαυλότατον εἶναι
so by-the established(-things) we-thought to-be-needful most-base to-be
κρίνοντες τὸ μεταβάλλεσθαι ῥᾳδίως ἐπί τισιν αἰτίαις,
judging the to-change easily on some causes
εἰ καὶ δεινόταται εἶεν, φορηταῖς δὲ ὅμως καὶ οὐ
if even most-terrible they-were bearable and nevertheless and not
παντάπασιν ἀνυποίστοις. τὸ δὲ καὶ μεγίστας βλάβας καὶ
altogether insupportable the and even greatest harms and
ἀνήκεστα πάσχοντας φέρειν διαπαντὸς ἀταλαιπώρως,
incurable(-things) suffering to-bear always without-pains
καὶ πρὸς μηδὲν ὁτιοῦν ἄχθεσθαι τῶν ἀνοσίων ἔργων καὶ
and at nothing whatever to-be-vexed of-the unholy deeds and
ἀτοπωτάτων, οὐ σωφρονούντων ἀνδρῶν εἶναί φημι, ἀλλὰ
most-outrageous not of-sensible men to-be I-say but
δειλῶν καὶ ἀθλίων, καὶ τὴν περὶ τὰ κοινὰ ῥᾳθυμίαν
of-cowardly and wretched and the about the public(-things) indolence
τῷ τῆς ἀπραγμοσύνης ὀνόματι σοφιζομένων. τούτου
with-the of-the quietism name dressing-up this
δὲ τοῦ τῆς μιαιφονίας πάθους οὐκ ἂν οἶμαι παρ᾽ ἑτέροις
and the of-the bloodshed suffering not — I-think among others
μεῖζόν τι γένοιτο, οὔτ᾽ ἂν γενόμενον περιοφθείη. οὔκουν
greater any could-happen nor — having-happened would-be-overlooked not-therefore
οὐδὲ ἡμῖν περιοπτέον, αἰσχυνομένοις εἴ γε φανείημεν
nor by-us must-be-overlooked being-ashamed if at-least we-should-appear
τοῦ βασιλέως ἐπιλελησμένοι, καὶ τοὺς ἀπεκτονότας
the king having-forgotten and the(-ones) having-killed
ὑποθωπεύοντες. εἰ γὰρ οἷόν τε ἦν αὐτὸν ἐνθάδε παρεῖναι,
fawning-on if for able — it-were him here to-be-present
πάντως ἂν ἐπεκάλει καὶ κατεμέμφετο τῆς ἡμετέρας
by-all-means — he-would-accuse and blame for-the our
ὀλιγωρίας, ἀνθ᾽ ὧν οἱ ἀλιτήριοι οὗτοι κατὰ τὴν ἐκείνου
neglect for which the accursed these in the his

γῆν ἔτι ἐνδιαιτῶνται, καὶ οὐ πολλῷ πρότερον ἐξελήλανται.
land still dwell and not much earlier have-been-driven-out
ἐπεὶ δὲ οὔτε παρέσται τολοιπόν, οὔτε φθέγξεται, ὑμεῖς
since and neither he-will-be-present the-rest nor will-speak you
ἀναλογίσασθε τὸν ἄνδρα, καὶ ὡς ἐν μέσῳ τοῦ συλλόγου
consider the man and as in middle of-the gathering
παρεστὼς οὕτω ταῖς ἐννοίαις ὑμῶν ἀνατυπούσθω, ἐπιδεικνὺς
standing-by so in-the thoughts of-you let-him-be-pictured showing
μὲν τὴν σφαγὴν καὶ τὸ στῆθος καὶ τὸν αὐχένα, ἱκετεύων
indeed the wound and the breast and the neck beseeching
δὲ τὸ ὁμόφυλον νῦν γοῦν τίσασθαι τοὺς πολεμίους.
and the kindred now at-any-rate to-punish the enemies
εἶτα τίς ἂν ὑμῶν ἀποδέξοιτο διαπορούντων καὶ
then who — of-you would-approve being-in-doubt and
σκοπουμένων, εἰ δίκαιον πρὸς τῶν Κόλχων οἴκτου
considering whether just from the Colchians pity
τυχεῖν τὸν Γουβάζην; εὐλαβητέον γὰρ ἡμῖν, ὅπως μὴ τὸ
to-get — Gubazes one-must-beware for by-us that not the
οὐκ εὐπρεπὲς δῆθεν τῆς μεταστάσεως δεδιότες, μεθέξομεν
not seemly forsooth of-the change fearing we-will-share
τοῦ μιάσματος, καταπροέμενοι καὶ παρέντες τὸ τιμωρεῖν
the pollution having-betrayed and having-neglected the to-avenge
τῷ τεθνηκότι, καὶ μᾶλλον ἐντεῦθεν ἄπιστοι δόξομεν, εἴ
the dead(-man) and more thence faithless we-will-seem if
γε τῷ βίῳ μόνον ἐκείνου τὴν πρὸς αὐτὸν οἰκείωσιν
at-least by-the life alone his the toward him attachment
ἀναμετρήσαντες, συναποβάλωμεν αὐτῷ καὶ τὴν μνήμην.
having-measured we-throw-away-with him also the memory
καλῶς μὲν γὰρ τῶν πραγμάτων χωρούντων, πολλὴ ἄνοια
well indeed for the affairs going much folly
τὰ προεγνωσμένα μεταμανθάνειν· ἐναντίως δέ που
the(-things) prejudged to-unlearn contrariwise and somewhere

φερομένων ἀσύμφορον οἶμαι τὸ μὴ οὐχὶ θᾶττον ἁρμόζεσθαι
being-borne unprofitable I-think the not not sooner to-adapt
τῷ προσπίπτοντι. τὸ γὰρ βέβαιον ἐν τῷ εὐλόγῳ κρίνεσθαι
to-the befalling the for steadfast in the reasonable to-be-judged
χρή, καὶ τὸ ἐγκαρτερεῖν τοῖς παροῦσιν οὐκ ἐπαινετέον
it-is-needful and the to-persevere in-the present(-things) not must-be-praised
ἀεί, ἀλλ᾽ ὅτε φρονήσει συμπαραγίγνεται. ἔνθα δὲ συμβαίνει
always but when with-wisdom it-goes-along where and it-befalls
ὧν μὲν δεῖ μεμνῆσθαι περιορᾶν, ἔχεσθαι δὲ τῶν οὐ
what indeed it-is-needful to-remember to-overlook to-hold and to-the not
προσηκόντων, ἐνταῦθα τοῦ μεταβάντος ἐφ᾽ ἕτερα
fitting there than-the(-one) having-changed to other(-things)
ὁ βεβηκὼς ἐπὶ τοῖς προτέροις μεμπτότερος. ταῦτα
the(-one) standing on the former more-blameworthy these(-things)
δὴ οὖν οἱ Πέρσαι πυνθανόμενοι πρὸς ἡμῶν καὶ συνίεντες,
indeed then the Persians learning from us and understanding
στέρξουσιν ἡμᾶς εἰκότως, καὶ ὑπερμαχοῦνται, χρηστοί
will-love us reasonably and will-fight-for good
τε ὄντες καὶ μεγαλόφρονες, καὶ δεινοὶ τεκμαίρεσθαι
both being and high-minded and clever to-judge
τὰς γνώμας τῶν πέλας, καὶ πρός γε χώραν οὕτως
the minds of-the neighbors and besides at-least land so
ἐπικαιροτάτην καὶ δύναμιν ἀξιόχρεων, ἣν αὐτοὶ
most-strategic and force considerable which they-themselves
πρὸ πολλῶν χρημάτων καὶ πόνων ἔχειν τιμῶνται, εἰς
before much money and toils to-have value into
συμμαχίαν αὐτεπάγγελτον προσλαμβάνοντες. μὴ τοίνυν
alliance self-offered taking-on not therefore
ἕτερόν τι παρὰ ταῦτα διανοεῖσθε, ἀλλ᾽ εὐθὺς ἐπιχειρεῖν
other any besides these(-things) think but at-once to-set-hand
τοῖς πράγμασι, καὶ τὸ μελετηθὲν ἀνακαλύπτειν· οὕτω
to-the affairs and the(-thing) planned to-uncover so

γὰρ ἂν εὔκλειαν μεγίστην ἀροίμεθα, ὅσιά τε δρῶντες
for — glory greatest we-would-win holy(-things) both doing
καὶ δίκαια, καὶ πρὸς τὸ συνοῖσον ἐξευρημένα."
and just and for the(-thing) going-to-profit found-out

11 Τοιαῦτα τοῦ Αἰήτου εἰπόντος, αὐτίκα ἅπας ὁ ὅμιλος ἐπῆρτο
such(-things) — Aeetes having-said at-once all the throng was-roused
καὶ ἀνεβόα, καὶ αὐθημερὸν ἵεντο μετανίστασθαι, οὔτε
and shouted and the-same-day they-were-eager to-change-sides neither
τοῖς Πέρσαις προεγνωσμένον, οὔτε οὕτω παρεσκευασμένοι
to-the Persians known-beforehand nor so prepared
ὡς διαλαθεῖν τυχὸν ἢ καὶ ἀμύνασθαι τοὺς Ῥωμαίους
as to-escape-notice perhaps or even to-repel the Romans
διακωλύοντας, ἀλλὰ μηδὲν ὁτιοῦν τῶν ἐσομένων
hindering but nothing whatever of-the(-things) going-to-be
διανοούμενοι, μήτε ὅποι αὐτοῖς ἐκβήσεται ἡ ἐπιχείρησις,
considering nor whither for-them will-turn-out the attempt
ἀτάκτως ἠπείγοντο. προσὸν μὲν τοῦτο καὶ ἄλλως τοῖς
disorderly they-hastened belonging indeed this also otherwise to-the
πλήθεσιν, ἥδεσθαι τῷ νεωτερισμῷ καὶ ταῖς μεταβολαῖς
multitudes to-delight in-the innovation and in-the changes
τῶν πραγμάτων, οὗτοι δὲ καὶ μᾶλλον ἠρεθισμένοι, οὐ
of-the affairs these and even more provoked not
μόνον οἷα δὴ βάρβαροι, ἀλλ' ὅτι τήν τε αἰτίαν
only as indeed barbarians but because the both cause
εὔλογον εἶναι ἡγοῦντο, καὶ τοὺς λόγους ἐν μεγίστῳ
reasonable to-be they-thought and the words in greatest
θαύματι ἐποιοῦντο, ὃ δὴ καὶ μᾶλλον αὐτοὺς ἀνεκίνει
wonder held which indeed also more them stirred-up
καὶ διεσόβει. οὕτω δὲ αὐτῶν ταραττομένων, ἀνήρ
and excited so and them being-agitated man
τις Φαρτάζης ὄνομα, ὢν μὲν ἐν τοῖς μάλιστα
some Phartazes by-name being indeed among the most

παρὰ Κόλχοις, ἔμφρων δὲ καὶ δημοτικὸς μάλα τοὺς
among Colchians sensible and and popular very the
τρόπους, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς καὶ ἀνέκοψεν,
manners checked them from-the rush and held-back
ἱκετεύσας μὴ πρότερον ἐπὶ τὴν πρᾶξιν χωρῆσαι, πρίν
having-begged not sooner to the deed to-go before
τι καὶ αὐτοῦ λέγοντος διακούσαιεν. μόλις δὲ αὐτῶν
something also him speaking they-should-hear scarcely and them
πεπεισμένων τῇ πρὸς τὸν ἄνδρα αἰδοῖ, καὶ κατὰ χώραν
having-been-persuaded by-the toward the man respect and in place
μεμενηκότων, παρελθὼν καὶ αὐτὸς ἐς μέσον, ἔλεξεν
having-remained having-come-forward also himself into middle said
τοιάδε· "Εἰκότα μέν, ὦ ἄνδρες Κόλχοι, πεπόνθατε,
such(-things) natural(-things) indeed O men Colchians you-have-suffered
λόγων δεινότητι σφόδρα κεκομψευμένων τὰς γνώμας
of-words by-cleverness very embellished the minds
ἐκταραχθέντες. δυσμαχώτατον γάρ τι τὸ χρῆμα καὶ
having-been-confounded hardest-to-fight for something the thing and
οἷον ἅπαντας ἀνθρώπους ἐκπλήττειν, οὐχ ἥκιστα δὲ
such-as all men to-dazzle not least and
τοὺς οὔπω πρότερον ἐς πεῖραν αὐτῶν καταστάντας· οὐ
the(-ones) not-yet before to trial of-them having-come not
μὴν παντάπασιν ἀνανταγώνιστον σώφρονι λογισμῷ, καὶ
truly altogether irresistible to-sober reasoning and
τῆς ἐκ τῶν πραγμάτων κρίσεως ἐχομένῳ. μὴ τοίνυν
to-the from the facts judgment holding not therefore
ἀρεσκόντων ὑμᾶς τὰ εἰρημένα, λογιζομένους ὡς τῷ
let-please you the(-things) said reckoning that to-the
ἀθρόῳ μόνῳ καὶ ἀσυνήθει πεπίστευται, ἀλλ᾽ οὐ τῷ
sudden alone and unaccustomed they-have-been-trusted but not to-the
πρέποντι καὶ ὠφελίμῳ. γινώσκετε δὲ μᾶλλον, ὡς εἰ καὶ
fitting and useful know and rather that if even

λίαν ὑμῖν κεχαρισμένα δοκεῖ, ἀλλ᾽ ἔνεστι κρείττονα
very to-you pleasing they-seem but it-is-possible better
τούτων ἑλέσθαι· καὶ τὸ ῥᾳδίως ἀναπεισθῆναι τεκμήριον
than-these to-choose and the easily to-be-persuaded proof
ὑμῖν ἐναργὲς τῆς ἀπάτης γινέσθω. τῷ γὰρ τὰ ψευδῆ
to-you clear of-the deceit let-be to-the(-one) for the false(-things)
συμβουλεύοντι μείζονός τε κόσμου καὶ ποικιλίας ῥημάτων
advising of-greater both ornament and of-variety of-phrases
προσδεῖ· κἀντεῦθεν πολλῷ τῷ θέλγοντι χρώμενος, θᾶττον
there-is-need and-thence much the charm using sooner
ἐφέλκεται τοὺς εὐηθεστέρους. οὕτω δὲ καὶ ὑμεῖς, τοῦ
draws-in the simpler(-ones) so and also you —
Αἰήτου σοφίσματα προθέντος ἐπαγωγὰ καὶ παράλογα,
Aeetes sophisms having-put-forward alluring and strange
οὐκ ἴστε ὅπως ἐφενακίσθητε· καίτοι εἰ καὶ μηδὲν ἕτερον,
ἅμα λέγων, τὸν δακτύλιον ἐπεδείκνυεν ὃν ἐπεφέρετο.
at-once saying the ring he-showed which he-wore
πρὸς ταῦτα δὲ ὑπολαβών· "ἄλλ' ἔμοιγε" ὁ Μαρτῖνος
to these(-things) and having-taken-up but to-me-at-least — Martinus
"εὐκτὸν μὲν ἡ εἰρήνη δοκεῖ καὶ τιμιώτατον, καὶ
desirable indeed the peace seems and most-precious and
συλλήψομαί σοι προσαγομένῳ τε αὐτὴν καὶ καθιστῶντι·
I-will-assist you bringing both it and establishing
ἄμεινον δέ, οἶμαι, ταῦτα δράσοιμεν ἄν, εἴγε σὺ μὲν
better and I-think these(-things) we-would-do — if-at-least you indeed
ὡς τάχιστα ἐς Ἰβηρίαν μεταχωρήσεις, ἐγὼ δὲ ἐλεύσομαι
as quickest to Iberia will-go-over I and will-go
ἐς Μουχείρισιν. οὕτω τε τὰ ἐν ποσὶ διασκεψόμεθα.
to Mucheirisis so and the(-things) at feet we-will-consider
τῆς δὲ νίκης πέρι σοὶ μὲν ἐξέστω μεγαλαυχεῖν τῷ
the and victory about for-you indeed let-it-be-allowed to-boast in-the
λόγῳ καὶ αὐθαδιάζεσθαι, καὶ τῶν ἀγοραίων αὐτὴν καὶ
word and to-be-arrogant and among-the market-bought it and
αὐθαιρέτων ἡγεῖσθαι κτημάτων· ἐγὼ δὲ καὶ τοῦτό φημι
self-chosen to-count possessions I and also this say
τῇ τοῦ κρείττονος ταλαντεύεσθαι γνώμῃ, καὶ οὐ παρὰ
by-the of-the higher to-be-weighed judgment and not to
τοὺς μέγα βρενθυομένους ἰέναι, ἀλλ' ἐφ' οὓς ἂν ὁ
the(-ones) greatly swaggering to-go but to whom — the

πάντων προαγωγὸς ἐπινεύσῃ.” οὕτω δὲ τοῦ Μαρτίνου
of-all leader may-nod so and — Martinus
ἀνδρειότατά τε καὶ μάλα ὁσίως ἀποκριναμένου, καὶ τῇ
most-bravely both and very piously having-answered and at-the
τοῦ βαρβάρου νεμεσήσαντος ἀλαζονείᾳ, οὐδὲν δὲ ὁτιοῦν
of-the barbarian having-been-indignant boastfulness nothing and whatever
προελθὸν εἰρηναῖον, διεκρίθησαν ἀπ᾽ ἀλλήλων. καὶ ὁ
having-come-forth peaceful they-parted from one-another and he
μὲν ἐς τὸ στρατόπεδον ἐπανῆκε, Μαρτῖνος δὲ ἐς τὴν
indeed to the camp returned Martinus and to the
Νῆσον. τῷ δὲ Ναχοραγὰν μενετέα μὲν αὐτοῦ ἥκιστα
Island — and to-Nachoragan one-must-remain indeed there least
ἐδόκει, ἐς δὲ τὸν Φάσιν τὴν πόλιν ἰέναι διενοεῖτο, ἐκεῖσέ
seemed to and — Phasis the city to-go intended thither
τε μᾶλλον ἐκκαλέσασθαι τοὺς Ῥωμαίους. ἐπιμαχώτατον
and rather to-call-out the Romans most-assailable
γὰρ τὸ ἐκείνη ἔρυμα εἶναι ἐπέπυστο, ἅτε δὴ ξύλοις ἅπαν
for the there stronghold to-be he-had-learned as indeed of-timbers all
ἐσκευασμένον, καὶ τὰ ἐχόμενα πεδία εὐόμαλά τε καὶ ἀγαθὰ
made and the adjoining plains level both and good
ἐνστρατοπεδεύσασθαι. ἤδη δὲ ἡ πόλις ὁ Φάσις, ἅπασιν,
to-encamp-in already and the city — Phasis to-all
οἶμαι, διαδηλότατον, ὡς ἐκ τοῦ ποταμοῦ εἴληφε τὴν
I-think most-evident that from the river has-taken the
ἐπωνυμίαν, πλησιαίτατα ὑποῤῥέοντος, καὶ ἀμφ᾽ αὐτὴν ἐς
name very-near flowing-past and about it into
τὸν Εὔξεινον πόντον ἀπερευγομένου. πρὸς γὰρ τῷ αἰγιαλῷ
the Euxine sea disgorging at for the shore
καὶ ταῖς ἐκβολαῖς τὸ πόλισμα ἵδρυται· ἀφέστηκε δὲ τῆς
and the mouths the town is-set is-distant and from-the
Νήσου ἓξ μάλιστα παρασάγγαις ἐπὶ δυόμενον ἥλιον.
Island six about parasangs toward setting sun

20 Εὐθὺς δὴ οὖν ὁ Ναχοραγὰν πόῤῥω τῶν νυκτῶν τὰς
at-once indeed then — Nachoragan far-into the nights the
ἀκάτους ὁπόσας ἐφ᾽ ἁμαξῶν ἐπήγετο, ἐς τὸν ποταμὸν
boats as-many-as on wagons he-brought into the river
ἐμβαλὼν καὶ συζεύξας, λανθάνει τοὺς Ῥωμαίους γέφυράν
having-put and having-joined escapes-notice-of the Romans bridge
τέ τινα ἐξ αὐτομάτου πηξάμενος, καὶ ἅπαν τὸ πλῆθος
and some out-of improvisation having-fixed and all the multitude
ἐς τὸ ἀντιπέραν διαβιβάσας· ἐβούλετο γὰρ ἐς τὰ
to the opposite-side having-taken-across he-wished for to the(-parts)
πρὸς νότον ἄνεμον ἀφικέσθαι τοῦ ἄστεος, ὅθεν δὴ
toward south wind to-come of-the town whence indeed
αὐτῷ οὐδαμῶς ἤμελλε τὰ ῥεῖθρα τοῦ ποταμοῦ κώλυμα
for-him in-no-way were-going the streams of-the river hindrance
ἔσεσθαι τῷ περιβόλῳ πελάζοντι· ὑπὸ γὰρ τὸ ἀρκτῷον
to-be the circuit-wall approaching under for the northern
καταῤῥεῖ καὶ παρατείνεται μέρος. καὶ ὁ μὲν ἀμφὶ τὸ
flows-down and stretches-along part and he indeed about the
περίορθρον ἄρας ἐκ τῆς ὄχθης, εἴχετο τῆς πορείας,
dawn having-set-out from the bank kept-to the march
καὶ τὴν Νῆσον ὡς ἀπωτάτω παραμειψάμενος, ἀνὰ τὰ
and the Island as farthest having-passed-by to the
πρόσω ἐχώρει· μόλις δὲ περὶ πλήθουσαν ἀγορὰν οἱ
forward went scarcely and about full market the
Ῥωμαῖοι τὴν διάβασιν ἐγνωκότες, διεταράχθησάν τε
Romans the crossing having-learned were-confounded both
καὶ περὶ πλείστου ἐποιοῦντο προτερῆσαι ἀνὰ τὸ ἄστυ
and of most(-account) held to-get-ahead to the town
τοὺς πολεμίους. τοιγάρτοι τάς τε τριήρεις καὶ ὅσοι
the enemies therefore the both triremes and as-many-as
τριακόντοροι παρώρμουν πληρώσαντες, ὀξύτατα τοῦ
thirty-oared(-ships) lay-moored having-manned most-swiftly of-the

ποταμοῦ τῷ ῥῷ κατεφέροντο. ἀλλὰ φθάσας ὁ
river on-the stream were-borne-down but having-anticipated —
Ναχοραγὰν ἀμφὶ τὸ μεσαίτατον τῆς τε Νήσου καὶ
Nachoragan about the very-middle of-the both Island and
τοῦ ἄστεος ἐτύγχανεν ἤδη, ξύλοις τε καὶ λέμβοις
of-the town happened already with-timbers both and with-skiffs
τὸ εὖρος ἅπαν τῆς δίνης διαφραξάμενος, τό τε τῶν
the breadth all of-the stream having-barred the and of-the
ἐλεφάντων στῖφος ὄπισθεν ἐπιστήσας, ἐς ὅσον οἷόν τε
elephants troop behind having-stationed to as-far-as able —
ἦν αὐτοῖς τῆς βάσεως ἐφικνεῖσθαι. ὁ δὲ τῶν Ῥωμαίων
was for-them of-the footing to-reach the and of-the Romans
στόλος ταῦτα πόῤῥωθεν ἰδόντες αὐτίκα πρύμναν
fleet these(-things) from-afar having-seen at-once stern
ἐκρούοντο, πολλῇ τε χρώμενοι ἐς τοὔμπαλιν τῇ εἰρεσίᾳ,
backed-water much and using to the-reverse the rowing
χαλεπώτατα πρὸς τὸ ἀντίπρωρόν τε καὶ ῥοῶδες τῆς
most-hardly against the head-on both and rushing of-the
φορᾶς ἀνταναγόμενοι, ἀπεχώρησαν. δύο δὲ ὅμως ναῦς
current putting-back withdrew two and nevertheless ships
κενὰς τῶν ἐμπλεόντων εἷλον οἱ Πέρσαι. οἱ γὰρ δὴ
empty of-the(-ones) sailing-in took the Persians the for indeed
ἄνδρες ξυλλαμβάνεσθαι μέλλοντες, τοῖς ὕδασι παραδοῦναι
men to-be-caught about to-the waters to-give-over
σφᾶς αὐτοὺς εὐτολμότατα κατεθάῤῥησαν, ἀντὶ τοῦ
them selves most-boldly dared instead-of the
μείζονος, οἶμαι, καὶ προὔπτου κινδύνου τὸ ἔλαττον δεινὸν
greater I-think and manifest danger the lesser terror
δήπου ἑλόμενοι, καὶ μετέσχον μᾶλλον τῶν ἐκ τῆς
surely having-chosen and shared rather the(-things) from the
τύχης ἀδήλων. τοιγάρτοι ἀφήλαντό τε κουφότατα καὶ
fortune uncertain therefore leapt-off both most-lightly and

ὑποβρύχιοι ἐπιπλεῖστον διανηξάμενοι, μόλις ὡς τοὺς
under-water for-very-long having-swum-through scarcely to the
οἰκείους ἀπεκομίσθησαν. τότε δὴ οὖν οἱ Ῥωμαῖοι Βούζην
own(-men) got-back then indeed then the Romans Buzes
μὲν τὸν στρατηγὸν ἀνὰ τὴν Νῆσον κατέλιπον, ἅμα τῷ
indeed the general on the Island left with the
οἰκείῳ στρατεύματι ἐπιμεληsόμενόν τε τῶν τῇδε
own army going-to-take-care both of-the(-things) here
ἁπάντων, καὶ ἀλεξήσοντα ἐς ὅ, τι δεήσοι· οἱ δὲ ἄλλοι
all and going-to-defend at what ever it-should-need the and others
ἅπαντες κατὰ τὸ ἐγκάρσιον τὸν ποταμὸν περαιωθέντες,
all at the transverse the river having-crossed
καὶ διὰ τῆς χέρσου ἑτέραν τινὰ ὁδὸν πορευόμενοι, ὡς μὴ
and through the dry-land another some road traveling so-as not
κατ᾽ αὐτὰ τοῖς πολεμίοις χωρῆσαι, παραγίνονται ἐς
by the-same(-way) as-the enemies to-go arrive at
ἐκεῖνο δὴ τὸ τοῦ Φάσιδος ἐπώνυμον ἄστυ, καὶ εἴσω τῶν
that indeed the of-the Phasis named town and within the
πυλῶν παρελθόντες, διεδάσαντο στοιχηδὸν οἱ στρατηγοὶ
gates having-passed divided in-order the generals
τὴν φρουρὰν τοῦ περιβόλου. οὐ γὰρ ᾤοντο ἀξιόμαχοι
the guard of-the circuit-wall not for they-thought a-match
ἔσεσθαι, εἴ γε συστάδην παρατάξασθαι πειραθεῖεν.
to-be if at-least hand-to-hand to-draw-up they-should-try
πρῶτος μὲν οὖν Ἰουστῖνος ὁ Γερμανοῦ καὶ ὁ ἀμφ᾽ αὐτὸν
first indeed then Justinus the of-Germanus and the about him
ὅμιλος ἐν τῷ ἀκροτάτῳ μέρει τῷ πρὸς θάλατταν νεύοντι
throng in the furthest part the toward sea inclining
ἐτετάχατο· βραχὺ δέ τι ἀπωτέρω Μαρτῖνος εἱστήκει
were-posted short and somewhat farther Martinus stood
ὁ στρατηγὸς καὶ αἱ Μαρτίνου δυνάμεις· ἀμφὶ δὲ τὸ
the general and the of-Martinus forces about and the

μεσαίτατον Ἄγγιλας μὲν ἔχων Μαυρουσίους πελταστὰς
very-middle Angilas indeed having Moors targeteers
καὶ λογχοφόρους, Θεόδωρος δὲ Τζάννους ὁπλίτας, καὶ
and spearmen Theodore and Tzani hoplites and
Φιλομάθιος Ἰσαύρους σφενδονήτας καὶ ἀκοντοβόλους.
Philomathius Isaurians slingers and javelin-throwers
ὀλίγῳ δὲ τούτων ἀποκεκριμένοι ἐφρούρουν Λαγγοβάρδων
little and from-these separated guarded of-Lombards
ἀπόμοιρα καὶ Ἐρούλων, Γίβρος δὲ ἡγεῖτο ἀμφοτέρων.
detachment and of-Eruli Gibrus and led both
τὸ δὲ λοιπὸν ἅπαν τοῦ τείχους, καὶ πρὸς ἀπηλιώτην
the and rest all of-the wall and toward east
ἄνεμον ἀπολῆγον, τοῖς ἑώοις τάγμασιν ἐπεφρόντιστο, ὑπὸ
wind ending by-the eastern units was-attended-to under
Βαλεριανῷ στρατηγῷ ταττομένοις. οὕτω μὲν ὑπὲρ τοῦ
Valerian general ranged so indeed on the
ἐρύματος ἡ τῶν Ῥωμαίων στρατιὰ ἐν κόσμῳ παρίστατο.
stronghold the of-the Romans army in order stood-by

The Persians fill the ditch around Phasis and bring up engines. Martinus spreads a report that a fresh Roman army is coming, and the rumor reaches the enemy. Justinus, out at a church to pray, returns and charges with his horse; the Persians take them for the expected army, the garrison sallies, an elephant that Ognaris spears in a narrow place spreads panic, and the besiegers flee, losing ten thousand. The Romans burn the abandoned engines.

21 Ἦν δὲ αὐτοῖς καὶ χαράκωμα ἔμπροσθεν καρτερώτατα
was and for-them also stockade in-front most-strongly
ἐξειργασμένον, ὡς ἀντέχειν εὐθὺς πρὸς τὰς ἐπιδρομάς, καὶ
worked so-as to-hold-out at-once against the assaults and
ὃν ἐν προβόλου μοίρᾳ ἐγκεῖσθαι τῷ τείχει. ἐδεδίεσαν γὰρ
which in of-bulwark place to-lie-before the wall they-feared for
εἰκότως ἐπ᾽ αὐτῷ, ἅτε δὴ ξύλοις τε πεποιημένῳ, καὶ
naturally for it as indeed of-timbers both made and
ἄλλως ὑπὸ χρόνου πολλαχοῦ διερρυηκότι. τῷ τοι ἄρα
otherwise by time in-many-places decayed for-that surely then
αὐτοῖς καὶ τάφρος μάλα εὐρεῖα πέριξ ὠρώρυκτο, ὕδατός
by-them also ditch very broad around had-been-dug of-water
τε ἤδη μεστὴ καὶ ὑπερχειλὴς ἐγεγόνει, ὡς καὶ τοὺς
and already full and overflowing had-become so-that even the
σκόλοπας, οἳ δὴ ἐτύγχανον ξυνεχέστατα ἐμπεπηγότες,
stakes which indeed happened most-thickly fixed-in
διαλανθάνειν καὶ ἀποκεκρύφθαι· τῆς γὰρ λίμνης, ἣν
to-escape-notice and to-be-hidden of-the for lake which
δὴ σμικρὰν θάλατταν ὀνομάζουσι, τὴν ἐς τὸν Εὔξεινον
indeed small sea they-name the into the Euxine
Πόντον ἐκροὴν φερομένην ἐνταῦθα μετοχετεύσαντες,
Pontus outflow carried there having-diverted
ῥᾳδίως ἅπαντα ἔπλησαν. νῆες δὲ φορτίδες μεγάλαι
easily all they-filled ships and cargo great

πρὸς τῇ κυματωγῇ τῆς θαλάττης καὶ ταῖς ἐκβολαῖς τοῦ
at the surf-line of-the sea and the mouths of-the
Φάσιδος πλησιαίτατα τοῦ ἄστεος ἐφορμοῦσαι, μετεώρους
Phasis very-near the town lying-at-anchor aloft
εἶχον τὰς ἀκάτους, καὶ ἀμφ᾽ αὐτὰ δήπου τὰ καρχήσια
held the boats and about very surely the mastheads
τῶν ἱστῶν ἀνιμηθείσας καὶ βεβαιότατα αἰωρουμένας, ὡς
of-the masts hoisted and most-securely suspended so-as
πολλῷ ἀνέχειν τὰ μεγέθη τῶν πύργων καὶ ὑπερφέρεσθαι.
by-much to-rise-above the heights of-the towers and to-overtop
ἄνω δὲ στρατιῶται εἱστήκεσαν, καὶ τῶν ναυτῶν ὁπόσοι
above and soldiers stood and of-the sailors as-many-as
εὐθαρσεῖς τε καὶ πολεμικώτεροι, τόξα τε φέροντες
bold both and more-warlike bows both carrying
καὶ σφενδόνας, μηχανάς τε ἑκηβόλους ἐνθέμενοι, πρὸς
and slings engines and far-shooting having-placed for
τὸ ἐνεργὸν ἤδη ἐσκευασμένας. ἀλλὰ γὰρ καὶ ἕτεραι
the action already prepared but for also other
νῆες διὰ τοῦ ποταμοῦ ἀνηγμέναι, ἐπὶ θάτερον μέρος
ships through the river brought-up to the-other part
παρῆσαν, ᾧ δὴ Βαλεριανὸς ἐφειστήκει, ὁμοιότατα
were-present over-which indeed Valerian was-set most-like
ταῖς ἄλλαις ἐξηρτυμέναι, ὡς ἂν ἑκατέρωθεν οἱ πολέμιοι
the others equipped so-that — from-each-side the enemies
ἐξ ὑπερδεξίων βαλλόμενοι ἀποκρούοιντο, πελασείοντες
from above being-shot might-be-beaten-off wishing-to-approach
τῇ πολιορκίᾳ. ὥστε δὲ ταύτας δὴ τὰς ἐν τῷ
for-the siege so-that and these indeed the in the
ποταμῷ ναῦς ἥκιστα ὑπό του πημαίνεσθαι, Δαβραγέζας,
river ships least by anyone to-be-harmed Dabragezas
Ἄντης ἀνήρ, ταξίαρχος, καὶ Οὖννός τις λοχαγός,
Antian man taxiarch and Hun some captain

Ἐλμίγγειρος ὄνομα, οὗτοι δή, προστεταγμένον αὐτοῖς
Elmingir by-name these indeed it-having-been-ordered them
ὑπὸ τῶν στρατηγῶν, ἐπακτρίδας τινὰς ἀμφιπρύμνους δέκα
by the generals light-boats some double-sterned ten
πληρώσαντες ἐκ τῆς ἀεὶ σφίσιν ἑπομένης δυνάμεως,
having-manned from the always them following force
καὶ ὡς ἀνωτέρω προελθόντες, ἐφρούρουν ξὺν ἀγρυπνίᾳ,
and as higher having-advanced kept-guard with wakefulness
καὶ περιεσκόπουν τὰς διαβάσεις ἐπιπλέοντες, νῦν μὲν ἐν
and watched the crossings sailing-about now indeed in
μέσῳ τῷ ῥείθρῳ, νῦν δὲ ἐφ' ἑκατέρας τῆς ὄχθης. καὶ
middle the stream now and by each the bank and
τοίνυν ἐνταῦθα ξυνηνέχθη τερπνόν τι λίαν καὶ ἐπίχαρι
therefore there befell delightful something very and charming
ὡς ἐν πολέμῳ καὶ παρατάξει. ἔτι γὰρ τούτων ἀνωτέρω
as in war and battle still for than-these higher
αἱ Ῥωμαϊκαὶ δύο τριακόντοροι, ἃς δὴ ἔμπροσθεν ἔφην
the Roman two thirty-oared(-ships) which indeed before I-said
κενὰς ἀνδρῶν ὑπὸ τῶν Περσῶν ἀφῃρῆσθαι· αὗται δὴ
empty of-men by the Persians to-have-been-taken these indeed
οὖν αἱ τριακόντοροι, ὁπλίτας ἔχουσαι Μήδους, ἐν τῷ
then the thirty-oared(-ships) hoplites having Medes in the
ποταμῷ ἐναυλοχοῦντο καλωδίοις τῆς γῆς ἐξημμέναι.
river lay-at-station by-cables to-the land fastened
νυκτὸς δὲ ἐπιλαβομένης, οἱ μὲν ἄνδρες ἐν αὐταῖς
night and having-come-on the indeed men in them
ἐκάθευδον ἅπαντες· τοῦ δὲ ῥοῦ πολλοῦ φερομένου, καὶ
slept all the and stream much being-borne and
τὰ πείσματα διατείνοντος τῇ ὑπαγωγῇ τῶν ὁλκάδων,
the cables straining by-the pull of-the hulls
ἀποῤῥήγνυται τῇ μιᾷ ὁ δεσμὸς ἐξαπιναίως· ἄφετον
breaks for-the one the mooring suddenly loose

δὲ αὐτὴν ἡ δίνη λαβοῦσα καὶ ἐλευθέραν, καὶ οὔτε
and it the current having-taken and free and neither
εἰρεσίας ἀντιπραττούσης, οὔτε πηδαλίου ἑτέρωθί που
rowing resisting nor rudder elsewhere somewhere
ἰθύνοντος, κατάγει πως αὐτὴν ὀξύτατα ἐς τὸ πρόσω,
steering brings-down somehow it most-swiftly to the forward
καὶ παραδίδωσι τοῖς ἀμφὶ Δαβραγέζαν Ῥωμαίοις. οἱ δὲ
and hands-over to-the about Dabragezas Romans they and
ἐσιδόντες, ἄσμενοι εἷλον τὸ θήραμα, καὶ ἐπετέρποντο τῇ
having-seen glad took the prey and delighted in-the
ξυντυχίᾳ, ὅτι γε αὐτοῖς ἥδε ἡ ναῦς κενὴ πρότερον
chance that at-least to-them this the ship empty before
ἀπελθοῦσα, τότε δὴ ἀνδρῶν ἀνάπλεως ἐπανῆκεν.
having-gone-off then indeed of-men full came-back
Ἐν τούτῳ δὲ ὁ Ναχοραγὰν ἁπάσῃ τῇ δυνάμει ἄρας 22
in this and — Nachoragan with-all the force having-set-out
ἐκ τοῦ στρατοπέδου, τῷ ἄστει ἐπέλαζεν, ἀκροβολίσασθαί
from the camp the town approached to-skirmish
τε βουλόμενος, καὶ ἀπόπειραν ποιήσασθαι τῶν Ῥωμαίων,
both wishing and trial to-make of-the Romans
εἰ ἐπεξίασι· ταύτῃ τε σαφέστατα διαγνῶναι, ὅπως
whether they-will-sally in-this-way and most-clearly to-discern how
αὐτῷ εἰς ἑτέραν τὰ ἐς τὸν πόλεμον παρασκευαστέα.
for-him for another(-day) the(-things) for the war must-be-prepared
τότε δὴ οὖν οἱ Πέρσαι, ἐπειδὴ ἐς τόξου βολὴν ἀφίκοντο,
then indeed then the Persians when to of-bow shot they-came
αὐτίκα οἵγε, τοῦτο δὴ αὐτοῖς τὸ εἰθισμένον, θαμὰ
at-once they this indeed to-them the customary often
ἐπετοξάζοντο· πολλοί τε τῶν Ῥωμαίων τρωθέντες, οἱ
shot-arrows many and of-the Romans wounded some
μὲν ἔτι ἀμυνόμενοι ἀντεῖχον, ἔνιοι δὲ καὶ ἀπόμαχοι
indeed still defending held-out some and also out-of-the-fight

ἐγίγνοντο. Ἄγγιλας δὲ καὶ Φιλομάθιος καὶ τῶν ἀμφ᾽
became Angilas and and Philomathius and of-the about
αὐτοὺς ταγμάτων ἄνδρες ἐς διακοσίους, καὶ ταῦτα
them units men up-to two-hundred and that
προειρημένον ἁπάσῃ τῇ στρατιᾷ ὑπὸ Μαρτίνου μένειν
it-having-been-ordered to-all the army by Martinus to-remain
ἕκαστον κατὰ χώραν, καὶ ἐκ τοῦ ἀσφαλοῦς ἀπομάχεσθαι,
each in place and from the safety to-fight-off
οἱ δὲ τὴν καθ᾽ αὑτοὺς πύλην ἀναπετάσαντες, κατὰ
they and the by themselves gate having-thrown-open against
τῶν πολεμίων ἐχώρουν. Θεόδωρος δὲ ὁ τοῦ Τζαννικοῦ
the enemies went Theodore and the of-the Tzanic
ὁμίλου ταξίαρχος, ἐπεῖχε μὲν τὰ πρῶτα, καὶ ἀνέκοπτε
throng taxiarch checked indeed the first and held-back
τὴν ὁρμήν, νεμεσῶν αὐτοῖς τῆς προπετείας. ἐπεὶ δὲ
the rush blaming them for-the rashness when and
οὐκ ἐπείθοντο, ὑπήγετο καὶ αὐτὸς τοῖς πλείστοις, οὔτι
not they-obeyed was-led also himself by-the most not-at-all
ἑκών, καὶ ἐνεδίδου, εὐθύς τε ἐφοίτα σὺν ἐκείνοις, ὡς
willing and gave-way at-once and went with them so-that
μὴ ἀποδειλιᾶν νομισθείη, τούτου τε ἕνεκα μόνου
not to-play-the-coward be-might-be-thought this and for-the-sake-of only
τὸ εὐπρεπὲς τῆς εὐβουλίας προΐσχεσθαι· ἤρεσκε μὲν γὰρ
the seemliness of-the good-counsel to-put-forward pleased indeed for
αὐτὸν οὐδαμῶς τὰ ποιούμενα, μετέχειν δὲ ὅμως
him in-no-way the(-things) being-done to-share and nevertheless
αὐτῶν ἠνείχετο ἐς ὅ, τι ἄρα καὶ τελευτήσαιεν. καὶ
them be-endured to what ever then even they-might-end and
μικροῦ γε ἅπαντες αὐτοῦ διεφθάρησαν, εἰ μή τις αὐτοὺς
of-little at-least all there were-destroyed if not some them
ἑτέρα διέσωσε γνώμη ἐκ τοῦ κρείττονος ἐπιῤῥωσθεῖσα.
other saved resolve from the higher strengthened

οἱ γὰρ Διλιμνῖται ἀνὰ τὸν ἐκείνῃ χῶρον ἑστῶτες καὶ ἐς
the for Dilimnites over the there ground standing and into
φάλαγγα ξυντεταγμένοι, ἐπειδὴ κατεῖδον τὴν ὀλιγότητα
phalanx drawn-up when they-saw the fewness
τῶν ἐπερχομένων, ὑπεδέχοντό γε αὐτοὺς ἡσυχῇ καὶ
of-the(-ones) coming-on received at-least them quietly and
ἀνέμενον. ὡς δὲ ἀγχοῦ ἤδη παρῆσαν, αὐτίκα οἵγε ἠρέμα
waited when and near already they-were at-once they gently
τὰ κέρα ἐπικολπώσαντες, περιβάλλουσιν ἅπαντας, καὶ ἐς
the wings having-curved surround all and into
ἀκριβῆ κύκλωσιν ἐγκατεῖργον. οἱ δὲ Ῥωμαῖοι πάντοθεν
exact encirclement shut-in the and Romans from-all-sides
περιειλημμένοι, δρᾶσαι μὲν τολοιπὸν οὐδὲν ὁτιοῦν τοὺς
surrounded to-do indeed the-rest nothing whatever the
πολεμίους διενοοῦντο· εὐκτὸν δέ τι αὐτοῖς ἐδόκει
enemies intended desirable and something to-them seemed
καὶ ἄπιστον, εἴγε ἁμωσγέπως διαδράσαιεν. καὶ δὴ
and incredible if-indeed somehow they-should-escape and indeed
ἐπὶ σφᾶς ἑλιχθέντες, καὶ τὰ δόρατα προβεβλημένοι,
on themselves having-wheeled and the spears having-leveled
ἐμπίπτουσιν ἀθρόον τῶν πολεμίων τοῖς πρὸς τῷ ἄστει
fall-upon all-together of-the enemies the(-ones) toward the town
ἐφεστηκόσιν. οἱ δὲ ἐσιδόντες αὐτοὺς πολλῇ τῇ ῥύμῃ
standing they and having-seen them with-much the rush
φερομένους, καὶ οἷον ταῖς ἐλπίσιν ἀπειρηκότας, διέστησαν
borne and as-it-were in-the hopes having-despaired stood-apart
εὐθὺς ἀπ᾽ ἀλλήλων, καὶ ἀπεκρίθησαν, οὐκ ἐνεγκόντες
at-once from one-another and separated not having-borne
ἄνδρας δυσθανατῶντας, καὶ ὅποι αὐτοῖς τὸ θράσος
men fighting-for-life and whither for-them the boldness
χωρήσει, οὐ λογιζομένους. οὕτω δὲ ἐκείνων ἐφέντων,
will-go not reckoning so and they having-allowed

ἐκδραμόντες οἱ Ῥωμαῖοι κατὰ τὸ παρεῖκον, ἄσμενοι αὖθις
having-run-out the Romans by the opening glad again
εἴσω τοῦ περιβόλου ἐγένοντο, καὶ τὴν πύλην προσήρραξαν.
within the circuit-wall came and the gate slammed
παρὰ τοσοῦτον μὲν κινδύνου ἵκοντο, οὐκ ἐπ᾽ ἄλλῳ τῳ
to so-much indeed of-danger they-came not in other any
ἀριστεύσαντες, ἢ μόνῳ τῷ διαφυγεῖν καὶ ἀποσωθῆναι.
having-excelled than alone in-the to-escape and to-get-safe
23 Τοῖς δὲ τῶν Περσῶν ἀχθοφόροις ἐκπλείστου διαπονουμένοις
for-the and of-the Persians porters from-longest toiling
ἐς τὸ τὴν τάφρον καταχωννύναι, τότε δὴ ἅπασα αὐτοῖς
at the the ditch to-fill-up then indeed all by-them
ἀνεπέπληστο, καὶ συνῆπτο ἁπανταχόθεν τὸ ἀπερρῳγὸς
had-been-filled and was-joined from-everywhere the broken
καὶ μεμερισμένον, ὡς καὶ βάσιμον εἶναι τὸ χωρίον
and divided so-that even passable to-be the place
στρατιᾷ τειχομαχούσῃ, καὶ τὰς ἑλεπόλεις μηχανὰς οὐ
for-army fighting-at-walls and the city-taking engines not
χαλεπῶς ἐνθένδε προσάγεσθαι. μακρὸς δὲ αὐτοῖς ἢ κατὰ
with-difficulty thence to-be-brought-up long and for-them than for
τὴν πολυχειρίαν ἐν τῷδε τῷ ἔργῳ χρόνος ἐτρίβη. λίθους
the many-hands in this the work time was-spent stones
γὰρ κατὰ τὸ μᾶλλον καὶ χοῦν ἐμβαλόντες, οὐ ῥᾳδίως
for by the more and soil having-thrown-in not easily
πρὸς τὰς συγκλείσεις ἐξήρκουν, ξύλων οὐ μάλα παρόντων,
for the closings sufficed timbers not very being-at-hand
ὅτι μὴ ὁπόσα πόρρωθεν ἐκ τῆς νάπης κατατέμνοντες
except — as-many-as from-afar from the glen cutting-down
ξὺν πόνῳ πολλῷ διεκόμιζον. οἱ γὰρ Ῥωμαῖοι ἐτύγχανον
with toil much they-carried the for Romans happened
ἤδη πρότερον ἅπαντας τοὺς ἀμφὶ τὸ ἄστυ ἀγροὺς
already before all the about the town farms

ἐμπρήσαντες, καὶ πρός γε τὰς τῶν ὁδοιπόρων
having-burned and besides at-least the of-the wayfarers
καταλύσεις καὶ εἴ τι ἕτερον ἐνδιαίτημα ὡς πλησιαίτατα
inns and if any other dwelling as nearest
ἵδρυτο. τοῦτο δὲ ἔδρασαν, ὡς ἂν μὴ τὴν ἐνθένδε ὕλην οἱ
was-set this and they-did so-that — not the from-there timber the
πολέμιοι πρόχειρον ἔχοντες, εὐκόλως τὰς ἐπιτεχνήσεις τῶν
enemies at-hand having easily the contrivances of-the
ἔργων ποιοῖντο. ἐκείνης μὲν οὖν τῆς ἡμέρας οὐδέν τι
works might-make that indeed then the day nothing at-all
ἀξιαφήγητον ἄλλο ἐπράχθη, ἀλλά, νυκτὸς ἐπιφοιτώσης,
worth-telling other was-done but night coming-on
ὁ Ναχοραγὰν ἅμα τοῖς πλήθεσιν ἐς τὸ στρατόπεδον
— Nachoragan with the multitudes to the camp
ἐπανῆκεν. τῇ δὲ ὑστεραίᾳ ὁ Μαρτῖνος τά τε τῶν οἰκείων
returned on-the and next-day — Martinus the both of-the own(-men)
φρονήματα ἐπιῤῥῶσαι βουλόμενος καὶ τοὺς ἐναντίους
spirits to-strengthen wishing and the opponents
ἐκπλῆξαι, ἤθροισε μὲν ἐς ταὐτὸ ἅπασαν τὴν τῶν
to-dismay gathered indeed into the-same all the of-the
Ῥωμαίων στρατιάν, ὡς δή τι τῶν παρόντων πέρι
Romans army as indeed something the present(-things) about
διασκεψόμενος· εἰσφοιτᾷ δὲ ἀθρόον ἐς μέσον, οὕτω πρὸς
going-to-consider comes-in and suddenly into middle so by
αὐτοῦ μεμελετημένον, ἀνήρ τις τῶν οὐ λίαν γνωρίμων,
him arranged man some of-the not very known
κονιορτοῦ τε ἀνάπλεως, καὶ οἷος ἐκ μακρᾶς ὁδοιπορίας
with-dust both covered and such-as from long journey
εἰκάζεσθαι, ἥκειν τε ἔλεγεν αὐτίκα ἐκ Βυζαντίου, καὶ
to-be-guessed to-have-come and he-said just-now from Byzantium and
γράμμα τοῦ βασιλέως ἐπιφέρεσθαι. λαβὼν δὲ τοῦτο
letter of-the emperor to-carry having-taken and this

ἀσμενέστατα δῆθεν ὁ στρατηγός, καὶ ἀνελίξας, οὐκ ἐν
most-gladly forsooth the general and having-unrolled not in
ἀποῤῥήτῳ καθ' αὑτὸν ἀνελέγετο, οὐδὲ μόνοις τοῖς ὄμμασιν
secret by himself read nor with-only the eyes
ἡσυχῇ διϊὼν τῷ νῷ εἰσῆγε τὰ γεγραμμένα, ἀλλ'
quietly going-through to-the mind took-in the(-things) written but
ἀνεβόα λαμπρᾷ τῇ φωνῇ, ὡς ἂν ἅπαντες ἐπαΐοιεν. καὶ
cried-aloud with-clear the voice so-that — all might-hear and
τῷ μὲν βιβλιδίῳ ἐκείνῳ ἴσως ἄλλο τι ἐνεγέγραπτο.
in-the indeed paper that perhaps other something had-been-written
ἦν δὲ ὅμως τὰ βοώμενα τάδε· "ἐστάλκαμέν σοι
were and nevertheless the(-things) cried these we-have-sent to-you
καὶ ἑτέραν στρατιάν, οὐ μείονα τῆς προσούσης· καίτοι
also another army not smaller than-the present and-yet
εἰ καὶ πολλῷ πλείους οἱ δυσμενεῖς τυγχάνοιεν ὄντες,
if even by-much more the enemies should-happen being
ἀλλ' οὐκ ἐς τοσοῦτον ὑμᾶς ὑπερβαλοῦνται τῷ πλήθει,
but not to so-much you they-will-surpass in-the number
ὁπόσον ὑμεῖς τῇ ἀνδρίᾳ, ὥστε συμβήσεται τήν τε
as-much-as you in-the courage so-that it-will-befall the both
ὀλιγότητα καὶ τὴν ἀμετρίαν τῶν ἴσων μὴ ἀφεστηκέναι.
fewness and the excess from-the equal not to-stand-apart
ὡς ἂν δὲ μηδὲ ταύτῃ ἐκεῖνοι μεγαλαυχοῖεν, δέχου καὶ
so-that — and not-even in-this-way they might-boast receive also
τοῦτον δὴ τὸν στρατόν, ὥσπερ φιλοτιμίας μᾶλλον καὶ
this indeed the army as-if of-ambition rather and
ἐπιδείξεως ἀλλ' οὐ τοῦ ἀναγκαίου χάριν ἀπεσταλμένους.
of-display but not of-the necessary for-the-sake sent
θαῤῥεῖν τοίνυν καὶ ἔργου ἔχεσθαι σὺν προθυμίᾳ, ὡς
to-be-bold therefore and to-the-work to-hold with eagerness as
ἡμῶν οὐδὲν ὁτιοῦν τῶν δεόντων περιοψομένων." εὐθὺς
us nothing whatever of-the needful(-things) going-to-overlook at-once

δὴ οὖν ἀνεπυνθάνετο, ὅποι εἴη τὸ στράτευμα. ὁ δὲ
indeed then he-inquired where was the army he and
"οὐ πόῤῥω" εἶπεν "ἀφεστήκασιν, ἢ μόνον τέσσαρσι
not far said they-are-distant than only four
Λαζικοῖς παρασάγγαις." καταλελοιπέναι γὰρ αὐτοὺς ἀμφὶ
Lazic parasangs to-have-left for them about
τὸν Νέοκνον ποταμὸν ἔτι αὐλιζομένους. καὶ ὁ Μαρτῖνος
the Neocnus river still encamped and — Martinus
ὀργήν τινα τῷ προσώπῳ ὑποκρινόμενος, "ἀπίωσαν
anger some on-the face feigning let-them-depart
αὖθις" ἔφη "ὡς τάχιστα, καὶ οἴκαδε ἀναστρεφόντων,
again he-said as quickest and homeward let-them-turn-back
ὡς ἔγωγε οὐκ ἄν ποτε αὐτοῖς ἐφείην ἐνθάδε γενέσθαι.
as I not — ever them would-allow here to-come
δεινὸν γὰρ εἰ τῶνδε τῶν ἀνδρῶν τῶν ἐκπλείστου ἡμῖν
terrible for if these the men the from-longest with-us
ξυστρατευομένων, πολὺν ὅσον χρόνον διαπονηθέντων,
campaigning much as time having-toiled
καὶ πολλάκις πρὸς τοὺς πολεμίους παραταξαμένων,
and often against the enemies having-drawn-up
ἤδη τε οὐ πόῤῥω ἡκόντων ἐκποδὼν ποιήσασθαι τὸ
already and not far having-come out-of-the-way to-put the
ἀντίπαλον, καὶ τελεωτάτην ἀναδήσασθαι νίκην· οἱ δὲ
hostile and most-complete to-crown-themselves-with victory they and
οὕτω κατόπιν τοῦ ἀναγκαίου παρέσονται, καὶ μονονουχὶ
so behind the need will-arrive and all-but
ἀπογευσάμενοι τῶν κινδύνων, εἶτα τὴν ὁμοίαν ἀποίσονται
having-tasted the dangers then the equal will-carry-off
δόξαν, καὶ ἐς ἐκείνους ἀνενεχθείη τὸ πέρας· καί, τὸ δὴ
glory and to them might-be-referred the end and the indeed
πάντων ἀδικώτερον, τὰ γέρα ἐπίσης καρπώσονται τοῖσδε.
of-all more-unjust the rewards equally will-reap with-these

ἀλλ᾽ ἐκείνοις μὲν αὐτοῦ μενετέα, ἐς ὅσον ἐς τὴν
but for-those indeed there one-must-remain to as-long-as for the
ἀποπορείαν παρασκευάσασθαι, ἀποχρήσουσι δὲ ἡμῖν οὗτοι
departure to-prepare will-suffice and for-us these
τὸ λειπόμενον τοῦ πολέμου ἄριστα κατεργάσασθαι.” καὶ
the remaining of-the war best to-accomplish and
ἅμα ἐς τὰ πλήθη ἐπιστραφείς· “ἦ οὐχὶ καὶ ὑμῖν ταῦτα”
at-once to the multitudes having-turned is-it not also to-you these(-things)
ἔφη “δοκεῖ, ὦ ἄνδρες ξυστρατιῶται;” οἱ δὲ ἐπευφήμησαν
he-said seem O men fellow-soldiers they and applauded
ξὺν βοῇ, καὶ δίκαια εἶναι ἀνέκραγον τὰ τῷ στρατηγῷ
with shout and just to-be cried-out the(-things) by-the general
βεβουλευμένα. καὶ οἱ μὲν θαῤῥαλεώτεροι ἐγεγένηντο, καὶ
planned and they indeed bolder had-become and
οἷον ἑτέρων οὐ δεῖσθαι προσβοηθησόντων. μάλιστα γὰρ
as-it-were others not to-need going-to-help most for
αὐτοὺς εἰς ἔριν ἐκίνει καὶ φιλοτιμίαν ἡ τῶν λαφύρων ἐλπίς,
them to strife moved and ambition the of-the spoils hope
καὶ ὅτι αὐτοὶ οὐκ ἐς μακρὰν ἅπαντα ᾤοντο κομιεῖσθαι,
and that themselves not to long all they-thought to-carry-off
ὥσπερ ἤδη τοὺς δυσμενεῖς ἀνελόντες· καὶ τοῦτο μόνον
as-if already the enemies having-destroyed and this only
πεφροντισμένον αὐτοῖς ὅπως τὴν λείαν διανεμοῦνται.
having-been-considered by-them how the booty they-will-divide
24 Ἀπέβη δὲ ὅμως καὶ θάτερον τῶν Μαρτίνου διανοημάτων.
turned-out and nevertheless also the-other of-the of-Martinus designs
ὁ γὰρ λόγος οὗτος διὰ τοῦ πλήθους ἐξολισθήσας,
the for word this through the multitude having-slipped-out
καὶ πανταχοῦ περιηγμένος, καὶ παρ᾽ αὐτοὺς ἀφῖκται
and everywhere carried-round even to very has-come
τοὺς Πέρσας, ὡς ἄρα στρατιὰ ἑτέρα Ῥωμαϊκὴ πρὸς
the Persians that then army another Roman at

τῷ Νεόκνῳ ποταμῷ παραγέγονε, καὶ ὅσον οὔπω
to-the Neocnus river has-arrived and as-much not-yet
τοῖς προτέροις ἀναμεμίξεται. ἀφασίᾳ δὴ οὖν
with-the former will-be-joined by-speechlessness indeed then
ἅπαντες εἶχοντο, δεδιότες εἰ μέλλοιεν, τοσούτοις ἤδη
all were-held fearing if they-should-be-about by-so-many already
πόνοις τετρυχωμένοι, πρὸς νέους ἄλλους καὶ ἀκμῆτας
toils worn-out against new other and fresh
παρατάττεσθαι πολεμίους. ὁ δὲ Ναχοραγὰν οὐδέν τι
to-be-drawn-up enemies — and Nachoragan nothing at-all
μελλήσας, καὶ ἴλην τινὰ μετρίαν ἐκ τῶν Περσικῶν
having-delayed also squadron some modest from the Persian
ἔστειλε ταγμάτων ἀνὰ τὴν ἀτραπὸν ἐκείνην, καθ᾽ ἣν
sent units along the path that by which
ᾤετο διαβήσεσθαι τοὺς περὶ ὧν ἐτύγχανε τῇ φήμῃ
he-thought to-cross the(-ones) about whom he-happened by-the report
ἐξηπατημένος. οἱ δὲ παραγενόμενοι, σπουδῇ τε καὶ
deceived they and having-arrived zeal both and
ἀγρυπνίᾳ οὐκ ἐν δέοντι ἐχρῶντο. καταλαβόντες γὰρ
wakefulness not in need used having-seized for
τὰ ἐπίκαιρα τῶν χωρίων, ὑπεκρύπτοντο αὐτοῦ καὶ
the strategic of-the places hid there and
ἀνέμενον τοὺς οὐδαμῶς παρεσομένους, γνώμην ἔχοντες
waited-for the(-ones) in-no-way going-to-come purpose having
ἀφυλάκτως αὐτοῖς τῷ ἀπροσδοκήτῳ τυχὸν προϊοῦσιν
unguardedly them by-the unexpected perhaps advancing
ἐπιπεσεῖσθαι, καὶ τὸ τάχος ἀνακόψαι τῆς πορείας, ἕως
to-fall-upon and the speed to-check of-the march until
οἱ ἐν τῷ ἄστει ἐκπολιορκηθεῖεν. οὕτω μὲν οὖν
the(-ones) in the town should-be-taken-by-siege so indeed then
δύναμις οὐ λίαν ἐλαχίστη τῶν Περσῶν μάτην ἠσχόλητο,
force not very smallest of-the Persians in-vain was-occupied

τοῦ ἄλλου πλήθους ἀφῃρημένη. εὐθὺς δὲ ὁ Ναχοραγὰν
from-the other multitude taken-away at-once and — Nachoragan
ἐξῆγε καὶ ὡς τὸν στρατόν, φθάσαι τὴν ἐπήλυσιν δῆθεν
led-out even so the army to-forestall the arrival forsooth
βουλόμενος τῶν οὐδαμῶς παρεσομένων, καὶ πολλῷ
wishing of-the(-ones) in-no-way going-to-come and much
ξὺν φρονήματι κατὰ τῶν Ῥωμαίων ἐχώρει, ἐπικομπάζων
with pride against the Romans went boasting
ἀναφανδὸν καὶ ἐπομνύμενος, ἦ μὴν αὐθημερὸν τὴν
openly and swearing truly indeed the-same-day the
πόλιν ἅπασαν αὐτοῖς ἀνδράσιν ἐμπρῆσαι. ἐπελέληστο
city all with-very men to-burn he-had-forgotten
γάρ, ὡς ἔοικεν, ὑπὸ αὐθαδείας ὁ ἔμπληκτος, ὡς ἄρα
for as it-seems from arrogance the madman that then
ἐπὶ πόλεμον ᾔει, πρᾶγμα οὕτως ἀφανές τε καὶ
to war he-was-going (a)-thing so obscure both and
ἀδηλότατον, καὶ πολλὰς ἐπιδεχόμενον ἐφ' ἑκάτερα ῥοπὰς
most-uncertain and many admitting to either-way turns
καὶ μεταβάσεις, μάλιστά τε πάντων, θείας τινὸς καὶ
and changes most and of-all on-divine some and
ὑπερτέρας ἀνάγκης ἀπηρτημένον, ὅσον καὶ σμικρὸν
higher necessity dependent as-much-as also small
οὐδὲν ἐν ταὐτῷ γίγνεται, ἀλλ' ἔθνη τε ἀνθρώπων μυρία
nothing in the-same happens but nations both of-men countless
καὶ πόλεις συχναί, καὶ πολιτεία ξύμπασα, οὕτω παρασχόν,
and cities many and polity whole so it-having-chanced
ἀνακινεῖται καὶ διαταράττεται, καὶ τὰς ὑπὲρ τῶν ὅλων
is-stirred-up and is-confounded and the for the whole
ἐλπίδας σαλεύει. ὁ δὲ ἐς τοσοῦτον ἐπῆρτο ἀλαζονείας,
hopes shakes he and to so-much was-lifted of-arrogance
ὡς καὶ τοῖς ἐργοπόνοις καὶ ὑπηρέταις, οἱ δὴ ἀνὰ τὴν
that even to-the laborers and servants who indeed through the

ὕλην σκεδαννύμενοι τὰ δένδρα κατέτεμνον, τυχὸν μὲν
forest scattered the trees were-cutting-down perhaps indeed
ξυλείας ἕνεκα, τυχὸν δὲ καὶ ἐπισκευῆς τῶν πολεμικῶν
of-firewood for-the-sake perhaps and also of-repair of-the warlike
μηχανημάτων· τούτοις δὴ οὖν ἅπασιν ἐκέλευεν, ἐπειδὰν
engines to-these indeed then all he-ordered when
καπνὸν ἀρθέντα θεάσοιντο, τοὺς δὲ γιγνώσκειν ὡς πῦρ
smoke raised they-should-see them and to-know that fire
ἤδη τῷ τῶν Ῥωμαίων περιβόλῳ εἴη ἐμβεβλημένον,
already into-the of-the Romans circuit-wall is thrown
καὶ μεθεῖναι μὲν τὰ ἐν χερσὶν ἔργα, δρομαίους δὲ
and to-let-go indeed the in hands works at-a-run and
ὡς αὐτὸν ἥκειν, καὶ συνεπιβάλλειν τὴν φλόγα, ὡς ἂν
to him to-come and to-help-cast the flame so-that —
ῥᾳδίως ἅπαντα πυρποληθείη. καὶ ὁ μὲν τοιαῦτα ἐφ᾽
easily all might-be-burned and he indeed such(-things) in
ἑαυτῷ βρενθυόμενος, εἶχετο τῆς ἐφόδου. Ἰουστῖνον δὲ τὸν
himself swaggering kept-to the attack Justinus and the
Γερμανοῦ, (οὐ γὰρ ᾤετο ἐν τῷ τότε τὸν Ναχοραγὰν
of-Germanus not for he-thought in the then — Nachoragan
παρέσεσθαι,) ἔννοιά τις θεόθεν, οἶμαι, εἰσῆλθε πρός τινα
to-come thought some from-God I-think entered to some
νεὼν τῶν παρὰ Χριστιανοῖς σεμνοτάτων, οὐ πόῤῥω
church of-the(-ones) among Christians most-holy not far
τῆς πόλεως ἀφεστηκότα, παραγενέσθαι ὡς τάχιστα, καὶ
from-the city distant to-go as quickest and
ἐπιθειάσαι. καὶ τοίνυν ἀπολεξάμενος ἐκ τῆς Μαρτίνου
to-pray and therefore having-picked from the of-Martinus
καὶ τῆς οἰκείας δυνάμεως ὅ, τι καρτερόν τε καὶ
and the own force what ever strong both and
μαχιμώτατον, καὶ πεντάκις χιλίους ἱππότας ἀγείρας,
most-warlike and five-times thousand horsemen having-gathered

ἅπαντάς τε ὡς ἐς πόλεμον ἄριστα ἐξοπλίσας, ὁ δὲ ξὺν
all both as for war best having-armed he and with
ἐκείνοις ἀπήλαυνε, τῶν τε σημείων οἱ ἑπομένων καὶ
them rode-off the both standards him following and
τῆς ἄλλης στρατηγικῆς εὐκοσμίας. οὕτω δὲ ξυνενεχθέν,
the other of-generalship order so and it-having-chanced
οὔτε οἱ Πέρσαι κατεῖδον τούτους πορευομένους, οὐμενοῦν
neither the Persians saw these going nor-indeed
οὐδὲ οἱ ἀμφὶ Ἰουστῖνον ἐκείνους ἐπιφοιτῶντας.
not-even the(-ones) about Justinus them coming-on
ἀλλ᾽ ἑτέρωθεν γὰρ ἀφιγμένοι, ἀθρόον τῷ περιβόλῳ
but from-elsewhere for having-come all-together the circuit-wall
προσέβαλλον, πλείονί τε ἢ πρότερον τοξείᾳ ἐχρῶντο,
attacked greater and than before archery used
ὡς οὕτω δὴ καὶ μᾶλλον τοὺς Ῥωμαίους ἐκπλήξοντες,
as so indeed even more the Romans going-to-dismay
καὶ τάχιστα τὴν πόλιν ἁρπασόμενοι.
and quickest the city going-to-seize
Τοιγάρτοι βέλη ἐφέρετο ἅμα συχνά, καὶ εἶτα ἕτερα
therefore missiles were-borne at-once many and then other
καὶ ἄλλα ἐπὶ τούτοις· ἅπαντά τε τὸν μεταξὺ ἀέρα
and others upon these all and the between air
ἐπεκάλυπτον τῇ συνεχείᾳ, ὥσπερ ἀλλήλοις ξυμπεφυκότα.
covered by-the continuity as-if to-one-another grown-together
εἴκασεν ἄν τις τὸ χρῆμα νιφετῷ μεγάλῳ, ἢ
would-have-likened — anyone the thing to-snowstorm great or
χαλάζῃ πολλῇ ξὺν βιαίῳ πνεύματι καταῤῥαγείσῃ. ἄλλοι
to-hail much with violent wind having-burst-down others
δὲ τάς τε μηχανὰς ἐκίνουν, καὶ βέλη πυρφόρα ἠκόντιζον,
and the both engines moved and missiles fire-bearing hurled
ἔς τε τοὺς καλουμένους σπαλίωνας ὑπεισδυόμενοι,
into both the called spalions slipping-in

πελέκεσι κατὰ τοῦ τείχους ἐπεφέροντο, ὡς ξύλινόν
with-axes against the wall went as wooden
τε ὄν, καὶ ταύτῃ ῥᾳδίως διατεμνόμενον. οἱ δὲ τὸ
both being and in-this-way easily being-cut-through others and the
δάπεδον διορύττειν ἐπειρῶντο, καὶ τῆς πρώτης βάσεως
ground to-dig-through tried and the first foundation
ἐφικνεῖσθαι, οὕτω τε ἀνατρέπειν καὶ διασπαράττειν
to-reach so and to-overturn and to-tear-apart
τὸ ξυμπεπηγὸς καὶ ἐνηρμοσμένον. ἀλλὰ γὰρ καὶ οἱ
the joined and fitted-together but for also the
Ῥωμαῖοι, ἔς τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις ἑστῶτες,
Romans on both the towers and the battlements standing
ἀντεῖχον ξὺν προθυμίᾳ καὶ ἀπεμάχοντο, ὥσπερ τῇ πείρᾳ
held-out with eagerness and fought-off as-if by-the trial
δεικνύναι βουλόμενοι τὸ μὴ χρῆναι αὐτοῖς ἑτέραν δύναμιν
to-show wishing the not to-be-needful for-them other force
προσγενέσθαι. ἥ τε τοῦ Μαρτίνου ἀπάτη ἐν αὐτῷ δὴ
to-be-added the and — of-Martinus deceit in very indeed
τῷ ἔργῳ διεφάνη, ὡς χρήσιμός τε ἦν καὶ ἐνεργοτάτη.
the action showed-itself as useful both it-was and most-effective
ἅπαντες γὰρ ἀφειδῶς διεπονοῦντο, οὐδένα ὅντινα τρόπον
all for unsparingly toiled no whatever way
ἀμυντήριον μεθιέντες. δόρατα μὲν γὰρ πολλὰ ἐκ τοῦ
of-defense letting-go spears indeed for many from the
μετεώρου ἀκοντιζόμενα τοὺς πολεμίους ἐτίτρωσκεν, ἅτε
height hurled the enemies wounded as
δὴ πλήθει γυμνῷ ἐρυμάτων προσπίπτοντα, καὶ οὐδὲ
indeed on-multitude bare of-defenses falling and not-even
ἐνὸν ἑτέρωθι φέρεσθαι· λίθοι δὲ ἁμαξιαῖοι κατὰ τῶν
being-possible elsewhere to-be-carried stones and wagon-sized against the
σπαλιώνων ἐῤῥίπτοντο, τὰ πλέγματα καταγνύντες. μείονές
spalions were-thrown the wickerworks breaking smaller

τε ἄλλοι διασφενδονώμενοι τὰ κράνη τῶν Μηδῶν καὶ
and others being-slung the helmets of-the Medes and
τὰς ἀσπίδας κατέθρανον, πελάζειν τε αὐτοῖς ἐν χρῷ
the shields shattered to-approach and them at close-quarters
τῷ τείχει οὐ μάλα ἐφίεσαν, βιαιότερον ἐνοχλοῦντες. τῶν
the wall not very they-allowed more-violently harassing of-the
δὲ ταῖς ἀκάτοις, ᾗπέρ μοι ἤδη ἐῤῥήθη, ἐφεστηκότων,
and in-the boats as-very by-me already was-said stationed
οἱ μὲν τόξοις χρώμενοι πλείστους ἐσίνοντο, ἄτε ἄνωθεν
some indeed bows using most harmed as from-above
βάλλοντες, οἱ δὲ τῶν μηχανῶν δαημονέστατα ἥπτοντο,
shooting others and the engines most-skillfully handled
τά τε ὑπόπτερα ἐκεῖνα τὰ καὶ ἐς τοῦτο ἐσκευασμένα
the both winged those the also for this made
δοράτια, πολλῇ ξὺν ἀνάγκῃ ἐκτινασσόμενα, ἐπιπλεῖστον
darts much with force shot-out very-far
ἐφέρετο, ὡς καὶ πολλοὺς τῶν βαρβάρων, πόῤῥωθεν
were-carried so-that even many of-the barbarians from-afar
ἔτι ἐπερχομένους, ἐκ τοῦ ἀφανοῦς αὐτοῖς ἵπποις
still coming-on from the unseen with-very horses
διαπερονᾶσθαι, καὶ καταπίπτειν ἐξαπιναίως. βοή τε
to-be-pierced-through and to-fall-down suddenly shouting and
ἐπιμέγα ἐπῆρτο, καὶ σάλπιγγες ἑκατέρωθεν πολεμιστήριόν
greatly was-raised and trumpets on-each-side warlike
τι μέλος ἐπῇδον. οἱ δὲ Πέρσαι καὶ τοῖς τυμπάνοις
some tune sounded the and Persians also with-the drums
ἐβόμβουν, καὶ σφοδρότερον ἐπηλάλαζον ἐκπλήξεως ἕνεκα,
boomed and more-loudly raised-war-cries of-dismay for-the-sake
ὅ τε τῶν ἵππων χρεμετισμὸς καὶ τῶν ἀσπίδων ὁ
the both of-the horses neighing and of-the shields the
πάταγος καὶ αἱ τῶν θωράκων συντρίψεις παμμιγῆ τινα
clatter and the of-the breastplates crashings all-mingled some

καὶ ἄγριον ἀνέπλεκον ἦχον. ἐν τούτῳ δὲ Ἰουστίνῳ τῷ
and wild wove-together din in this and to-Justinus the
Γερμανοῦ ἐκ τοῦ νεῷ ἐπανιόντι ξυναίσθησις γίγνεται
of-Germanus from the church returning perception comes
τῶν δρωμένων τῇ τε ταραχῇ καὶ τῷ κτύπῳ.
of-the(-things) being-done by-the both confusion and by-the din
καὶ αὐτίκα τοὺς ἀμφ᾽ αὐτὸν ἱππότας συστρέψας, καὶ
and at-once the about him horsemen having-rallied and
ἐς τάξιν τινὰ ἐν κόσμῳ καταστησάμενος, τά τε σημεῖα
into order some in array having-set the both standards
ἐς ὕψος ἀρθῆναι ἐκέλευε, καὶ ἅπαντας ἔχεσθαι ἔργου,
to height to-be-raised ordered and all to-hold to-the-work
γιγνώσκοντας ὡς οὐκ ἀθεεὶ ἔτυχον τοῦ ἄστεος
knowing that not without-God they-happened from-the town
ἐξεληλυθότες, ἀλλ᾽ ἐφ᾽ ᾧ δεδίξασθαι τοὺς πολεμίους τῷ
having-gone-out but on which to-frighten the enemies by-the
ἀπροσδοκήτῳ, καὶ ἀπελάσαι τῆς πολιορκίας. ὡς δὲ
unexpected and to-drive-off from-the siege when and
βραχύ τι προελθόντες κατεῖδον τοὺς Πέρσας ἐγκειμένους
short some having-advanced they-saw the Persians pressing
τῷ περιβόλῳ, τότε δὴ ἀθρόον ἐμβοήσαντες, ἐμβάλλουσι
the circuit-wall then indeed all-together having-shouted they-charge
τῷ μέρει τῷ πρὸς τῇ θαλάττῃ παρατεταμένῳ· ἐνθένδε
the part the at the sea extended from-there
γὰρ καὶ ἐτύγχανον ἀφιγμένοι. καὶ αὐτίκα οἱ μὲν κοντοῖς,
for also they-happened having-come and at-once some indeed with-lances
οἱ δὲ σαρίσσαις, οἱ δὲ καὶ ξίφεσι παίοντες, τὸ
others and with-pikes others and also with-swords striking the(-one)
παρεμπίπτον διέφθειρον· βιαιοτέρας τε τὰς ἐπελάσεις ἀνὰ
falling-in-the-way destroyed more-violent and the charges through

τὰς στίχας τῶν ἐναντίων ποιούμενοι, καὶ ταῖς ἀσπίσιν
the ranks of-the opponents making and with-the shields
ἐξωθοῦντες, παρερῥήγνυσαν τὸ ξυνεχὲς καὶ συντεταγμένον.
thrusting broke-through the continuous and ordered
26 Οἱ δὲ Πέρσαι τοῦτον ἐκεῖνον εἶναι τὸν στρατὸν
the and Persians this that to-be the army
ὑποτοπήσαντες ὃν δὴ παρέσεσθαι ἠκηκόεσαν, καὶ ὅτι
having-supposed which indeed to-come they-had-heard and that
διαλαθόντες τοὺς ἐς τοῦτο ἀποκεκριμένους ἀφίκοντο,
escaping-notice-of the(-ones) for this detached they-had-come
θορύβου καὶ δέους ἐνεπίμπλαντο, καὶ χύδην ἐς ἑαυτοὺς
with-confusion and fear were-filled and pell-mell into themselves
ἀνελιττόμενοι, ἀπεχώρουν ἠρέμα ἐς τὰ ὀπίσω, καὶ
rolling-back withdrew gradually to the rear and
ἐς ὑπαγωγὴν ἐκινοῦντο. ταῦτα δὲ πόρρωθεν οἱ
to withdrawal were-moving these(-things) and from-afar the
Διλιμνῖται θεασάμενοι, (ἀμφὶ γὰρ τὸ μεσαίτατον τοῦ
Dilimnites having-seen about for the very-middle of-the
τείχους ἐμάχοντο,) ὀλίγους μὲν αὐτοῦ κατέλιπον, οἱ
wall they-fought few indeed there left the
δὲ ἄλλοι ἐχώρουν ἐπὶ τὸ πονούμενον. Ἄγγιλας δὲ
and others went to the hard-pressed(-part) Angilas and
καὶ Θεόδωρος, οἱ τῶν Ῥωμαίων ταξίαρχοι, ὧν δὴ
and Theodore the of-the Romans taxiarchs whom indeed
καὶ πρότερον ἐπεμνήσθην, ἐπιφρασάμενοι τὴν ὀλιγότητα
also before I-mentioned having-noticed the fewness
τῶν μεμενηκότων, ἐπεξίασιν ἀθρόον τοῦ ἄστεος ξὺν
of-the(-ones) having-remained they-sally suddenly from-the town with
ἀποχρώσῃ δυνάμει· καὶ τὸ μέν τι αὐτῶν διαφθείρουσιν,
sufficient force and the indeed some of-them destroy
ἔνιοι δὲ ἀποδράσαντες ᾤχοντο· τούτους τε οἱ Ῥωμαῖοι
some and having-escaped went-off these and the Romans

διώκοντες οὐκ ἀνίεσαν. οἱ δὲ ἄλλοι Διλιμνῖται ταῦτα
pursuing not let-up the and other Dilimnites these(-things)
ἰδόντες, οἵπερ ἦεσαν ὡς δὴ τοῖς Πέρσαις πιεζομένοις
having-seen who-very were-going as indeed the Persians hard-pressed
ἐπαμυνοῦντες, ἐπιστρέφουσιν αὐτίκα ἐπὶ θάτερα,
going-to-help turn-round at-once to the-other(-side)
ὑπαντιάζειν βουλόμενοι τοῖς Ῥωμαίοις, ἄμεινον εἶναι
to-meet wishing the Romans better to-be
ἡγούμενοι εἰ μᾶλλον τοῖς ὁμοφύλοις ἐς ὅ, τι τάχιστα
thinking if rather the kinsmen in what ever quickest
ἐπαρήξαιεν, σπουδῇ τε ἀτάκτῳ καὶ δρόμῳ πολλῷ
they-should-help with-haste and disorderly and with-run much
ἐφέροντο, ὡς φεύγουσι μᾶλλον ἀπρεπῶς, ἢ ὅτι ἑτέροις
were-carried so-that to-fleeing(-men) rather unseemly than that on-others
ἐπέρχονται, εἰκασθῆναι. ἔθεον μὲν γὰρ ὡς δὴ τοῖς οἰκείοις
they-come to-be-likened ran indeed for as indeed the own(-men)
προσβοηθήσοντες, πλέον δέ τι ὑπῆρχεν ἐν αὐτοῖς τοῦ
going-to-help more and somewhat was in them than-the
ὀργιζομένου τὸ ταραττόμενον. ἡ δὲ τῶν Περσῶν στρατιά,
anger the agitation the and of-the Persians army
ὁπόση δὴ ὡς πλησιαίτατα παρετάττετο, ἰδόντες τοὺς
as-much-as indeed as nearest was-drawn-up having-seen the
Διλιμνίτας οὕτω δή τι ξὺν ταραχῇ καὶ ἀκοσμίᾳ
Dilimnites so indeed somewhat with confusion and disorder
φοιτῶντας, ἕτερόν τε οὐδὲν ἢ ὅτι ἀποδιδράσκουσι
coming other and nothing than that they-run-away
διανοηθέντες, καὶ λογιζόμενοι ὡς οὐκ ἄν ποτε ἐκεῖνοι
having-thought and reckoning that not — ever they
ἐς τοῦτο αἴσχους ἀφίκοντο, μὴ μεγάλου τινὸς καὶ
to this of-disgrace would-have-come not great some and
ἀνυποίστου περιεστηκότος κινδύνου, τότε δὴ καὶ αὐτοὶ
unbearable having-surrounded danger then indeed also themselves

τραπέντες ἀγεννῶς ἐσκεδάννυντο. ἡ δὲ μελετωμένη τέως
having-turned ignobly scattered the and practiced till-then
φυγὴ καὶ ὑπολανθάνουσα, τότε δὴ αὐτοῖς ἐς τοὐμφανὲς
flight and lurking then indeed for-them into the-open
ἀνερῥάγη. ἀλλὰ γὰρ καὶ οἱ Διλιμνῖται ταὐτὰ περὶ τῶν
broke-out but for also the Dilimnites the-same(-things) about the
Περσῶν οἰηθέντες, ξυνείποντό γε αὐτοῖς καὶ συνεξέθεον,
Persians having-thought followed at-least them and ran-out-with
ἀπατήσαντές τε ἅμα καὶ ἐξηπατημένοι. τούτων δὲ
having-deceived both at-once and deceived these and
γιγνομένων, πλεῖστοι ὅσοι τῶν Ῥωμαίων τοῦ περιβόλου
happening most as of-the Romans from-the circuit-wall
διεκβάντες, λαμπροτέραν τοῖς πολεμίοις εἰργάσαντο
having-gone-out more-brilliant for-the enemies made
τὴν ἀναχώρησιν, ἐπισπόμενοί τε αὐτοῖς, καὶ τὸ ἀεὶ
the retreat having-followed both them and the ever
λειπόμενον ἀναιροῦντες. ἄλλοι δὲ ἄλλοθεν ἐπεξιόντες
lagging killing others and from-elsewhere sallying
πρὸς τὸ ἀντέχον ἔτι καὶ ξυνεστηκὸς διεπονοῦντο. τὸ
against the(-part) holding-out still and standing-firm toiled the
μὲν γὰρ λαιὸν κέρας τῶν βαρβάρων οὕτω δή τι
indeed for left wing of-the barbarians so indeed somewhat
περιφανῶς ἐκεκμήκει καὶ διελέλυτο. οἱ δὲ ἐπὶ τῷ
conspicuously had-been-exhausted and had-broken-up they and on the
ἑτέρῳ ξυντεταγμένοι καρτερώτατα ἀπεμάχοντο. οἵ τε γὰρ
other drawn-up most-stoutly fought-off the both for
ἐλέφαντες ἀντ᾽ ἐρύματος προβεβλημένοι καὶ ἐπεισπηδῶντες,
elephants as bulwark set-forward and leaping-in
διετάραττον αὐτίκα τὸν συνασπισμὸν τῶν Ῥωμαίων ἔπου
confounded at-once the shield-wall of-the Romans wherever
ξυσταίη· οἵ τε ὑπὲρ τούτων ὀχούμενοι τοξόται λίαν
it-might-form the and above these riding archers greatly

ἐσίνοντο τοὺς ἐπιόντας, οἷα ἐς ὕψος ἠρμένοι, καὶ τῷ
harmed the(-ones) attacking as to height raised and by-the
ὑπερανέχειν εὐσκοπώτατα βάλλοντες· αἵ τε τῶν ἱππέων
to-tower-over most-accurately shooting the and of-the horsemen
ἴλαι, διεκτρέχουσαι, ῥαδίως προσέβαλλον καὶ ἠνώχλουν
squadrons running-through easily attacked and harassed
ἀνδράσι πεζοῖς καὶ ἐμβριθέστερον ὡπλισμένοις· ἤδη τε
men on-foot and more-heavily armed already and
οἱ ταύτῃ Ῥωμαῖοι ἐς φυγὴν ἐκκλίναντες ἀπηλαύνοντο.
the here Romans to flight having-turned were-driven-off
Ἀνὴρ δέ τις ἐν αὐτοῖς τῶν Μαρτίνου δορυφόρων, 27
man and some among them of-the of-Martinus guards
Ὄγναρις ὄνομα, ἐν στενωτάτῳ χωρίῳ ξυνειλημμένος,
Ognaris by-name in narrowest place caught
ὡς μηδὲ τὸ ἀποδιδράσκειν αὐτῷ ἐλεύθερον εἶναι καὶ
so-that not-even the to-run-away for-him free to-be and
ἐφειμένον, αὐτίκα ὅγε ἀπειρηκὼς τοῖς ξυνενεχθεῖσι, καὶ
allowed at-once he having-despaired at-the events and
ὥσπερ τῆς τύχης ἀποπειρώμενος, ἐπιόντα οἱ δεινῶς
as-if the fortune testing attacking him terribly
τὸν θρασύτερον τῶν ἐλεφάντων πλήττει βιαίως ἀνὰ
the bolder of-the elephants strikes violently on
τὴν ὀφρὺν τῷ δόρατι, καὶ ἐμπήγνυσι τὴν αἰχμήν,
the brow with-the spear and fixes-in the point
ὡς ἅπαν τὸ λοιπὸν ἀπῃωρῆσθαι. ὁ δὲ πρός τε τὴν
so-that all the rest to-hang-down it and at both the
πληγὴν δυσανασχετῶν, καὶ πρός γε τοῦ δορατίου ἀμφὶ
blow being-vexed and besides at-least the spear about
τὸν ὀφθαλμὸν κραδαινομένου ἐκταραττόμενος, ὑπεξήγετο
the eye quivering being-confounded withdrew
ἀθρόον ἐς τοὔμπαλιν ἀνασκιρτῶν καὶ περιδονούμενος, τήν
suddenly to the-reverse leaping-up and whirling-round the

τε προνομαίαν νῦν μὲν ὥσπερ ὕσπληγγα περιτινάσσων
both trunk now indeed like starting-rope brandishing
ἔπληττε πολλοὺς τῶν Περσῶν καὶ ἐξηκόντιζε, νῦν
struck many of-the Persians and flung-off now
δὲ ἐς μῆκος ἐκτείνων τραχύν τινα καὶ ἄγριον ἦχον
and to length stretching harsh some and wild sound
ἀφίει. αὐτίκα δὲ τοὺς ὕπερθεν ἑστῶτας ἀποσεισάμενος
let-out at-once and the(-ones) above standing having-shaken-off
κατέβαλε, καὶ ἐμπατήσας διέφθειρεν. ἔπειτα δὲ καὶ
threw-down and having-trampled destroyed then and also
ἅπαντα τὸν Περσικὸν ὅμιλον ἀνεσόβει, τούς τε ἵππους
all the Persian throng scattered the both horses
ἀναχαιτίζων οἷς ἂν ἐμπελάσειε, καὶ τοῖς ὀδοῦσι τὸ
rearing-up which — it-might-approach and with-the tusks the(-thing)
ἐπιψαῦον διατεμνόμενος καὶ ἀναχαράσσων. καὶ ἦν ἅπαντα
touching cutting-through and tearing-up and was all
ὀλοφυρμοῦ ἀνάπλεα καὶ θορύβων. οἱ μὲν γὰρ ἵπποι τῇ
of-wailing full and of-tumults the indeed for horses by-the
χαλεπότητι τοῦ θηρίου ἐπτοημένοι, οὐ μάλα τοῖς ῥυτῆρσιν
savagery of-the beast terrified not very the reins
ἐπείθοντο, ἀλλὰ τὰς ἐμπροσθίους μετεωρίζοντες ὁπλάς,
obeyed but the fore raising hoofs
ἐξεκύλιον τοὺς ἐλατῆρας, οὕτω τε ἄτακτα διὰ τοῦ
rolled-off the riders so and disorderly through the
πλήθους ἐξήλλοντο, πνευστιῶντες θαμὰ καὶ φριμασσόμενοι.
multitude leapt-out panting often and snorting
τῶν δὲ ἀνδρῶν ἐς ἑαυτοὺς ἀναχωρούντων, ἁπάντων
the and men into themselves withdrawing all
τε ὠθούντων ἀλλήλους καὶ παραγκωνιζομένων, καὶ
and shoving one-another and elbowing and
ἑκάστου προτερῆσαι τὸν πέλας ἐπειγομένου, πλεῖστοι
each to-get-ahead-of the neighbor hastening most

ὅσοι ἐκτείνοντο ὑπὸ σφῶν, τοῖς τῶν φιλτάτων τε καὶ
as were-killed by themselves on-the of-the dearest both and
ὁμοφύλων ξίφεσι περιπταίοντες. οὕτω δὲ τῆς ταραχῆς
kindred swords falling-upon so and the confusion
ἐπιμέγα ἰούσης, οἱ Ῥωμαῖοι, ὁπόσοι τε ἤδη ἐτύγχανον
greatly going the Romans as-many-as both already happened
ὑπεκβάντες τοῦ περιβόλου καὶ εἴ που τι αὐτῶν ἔνδον
having-gone-out from-the circuit-wall and if anywhere any of-them within
ἐλέλειπτο, τότε δὴ ἅπαντες ἐς μίαν τινὰ φάλαγγα
had-been-left then indeed all into one some phalanx
συσπειραθέντες, καὶ τὸ μέτωπον ὡς καρτερώτατα
having-massed and the front as most-strongly
ταῖς ἀσπίσι φραξάμενοι, ἐμπίπτουσι ξυγκεχυμένοις ἔτι
with-the shields having-fenced fall-upon confused still
τοῖς πολεμίοις. οἱ δὲ τῷ ἤδη προπεπονηκέναι τὴν
the enemies they and by-the already to-have-been-exhausted the
προσβολὴν οὐκ ἐνεγκόντες, ὠκύτατα ἔφυγον· οὐδὲ τοῦτο
attack not having-borne most-swiftly fled nor this
δρῶντες ἐν τάξει, οὐδὲ ὥστε καὶ ἀμύνεσθαι τοὺς
doing in order nor so-as even to-ward-off the(-ones)
ἐπιόντας, ἀλλ᾽ ἐσκεδάννυντο ἄλλος ἄλλοθι ὥσπη ἑκάστῳ
attacking but scattered one elsewhere as-ever for-each
προὐχώρει. ὁ δὲ Ναχοραγάν, ἀλλὰ γὰρ καὶ αὐτὸς
it-went-on — and Nachoragan but for also himself
τῷ παραλόγῳ τῶν γιγνομένων καταπεπληγμένος ἐς
by-the strangeness of-the events astounded to
τὰ ὀπίσω δρομαῖος ἀπήλαυνε, σημαίνων ἅπασι τῇ
the rear at-a-run rode-off signaling to-all with-the
μάστιγι καὶ ἐγκελευόμενος ὡς τάχιστα φεύγειν, τοῦτο
whip and urging as quickest to-flee this
δὴ τὸ πρὸς ἐκείνων ἤδη πρασσόμενον. οὕτως ἄρα
indeed the(-thing) by them already being-done so then

αὐτῷ τὰ τῆς ὑψηγορίας ἐς τοὐναντίον ἀπέβη. οἱ δὲ
for-him the(-things) of-the lofty-talk to the-contrary turned-out the and
Ῥωμαῖοι οὐ πρότερον ἀνῆκαν διώκοντες τοὺς βαρβάρους
Romans not sooner left-off pursuing the barbarians
καὶ ἀναιροῦντες, πρίν γε δὴ ὁ Μαρτῖνος, ἀποχρῆναι
and killing before at-least indeed — Martinus to-suffice
ἡγούμενος, ἀνεκαλεῖτό τε αὐτοὺς ὑπὸ τῇ σάλπιγγι, καὶ τὸν
thinking recalled both them by the trumpet and the
θυμὸν ἐξημέρου. οὕτω τε οἱ Πέρσαι μόλις εἰς τὸ οἰκεῖον
passion calmed so and the Persians scarcely to the own
στρατόπεδον ἀπεσώθησαν, οὐ μεῖον ἢ δέκα χιλιάδας
camp got-safe not less than ten thousands
μαχίμων ἀνδρῶν ἐν τῷδε τῷ ἔργῳ ἀποβεβληκότες.
of-fighting men in this the action having-lost
28 Οἱ δὲ Ῥωμαῖοι ἐκ τῆς διώξεως ἐπανελθόντες, τούς
the and Romans from the pursuit having-returned the
τε σπαλίωνας ἐνέπρησαν, καὶ ὁπόσα ἄλλα Περσικὰ
both spalions burned and as-many-as other Persian
μηχανήματα ἀμφὶ τὸ τεῖχος ἐλέλειπτο. ἐντεῦθεν δὲ φλογὸς
engines about the wall had-been-left thence and flame
μεγάλης ἀρθείσης, οἱ τὴν ὕλην κατατέμνοντες ὑπηρέται τῶν
great having-risen the the forest cutting-down servants of-the
Περσῶν καὶ ἀχθοφόροι, ἰδόντες πόῤῥωθεν καπνὸν εἰς ὕψος
Persians and porters having-seen from-afar smoke to height
ἀνέρποντα, καὶ ἐπὶ πολὺ τοῦ ἀέρος ἀνελιττόμενον, αὐτίκα
creeping-up and over much of-the air rolling at-once
οἱ δείλαιοι ἐπὶ τὸ ἄστυ ἐχώρουν, οἰηθέντες, ὥς που
the wretches to the town went having-thought as somewhere
τῷ Ναχοραγὰν πρότερον ἐκεκόμπαστο, τὸν περίβολον
— by-Nachoragan before it-had-been-boasted the circuit-wall
πυρπολεῖσθαι. τοιγάρτοι ξὺν πολλῷ τῷ δρόμῳ ἐφέροντο,
to-be-burning therefore with much the running were-carried

δεδιότες, οἶμαι, μὴ σφᾶς παραδράμοι ὁ τοῦ ἔργου καιρός,
fearing I-think lest them run-past the of-the work moment
καὶ ἅπαντα τεφρωθείη, πρὶν δὴ αὐτοὺς ἀφικέσθαι. ἅμιλλά
and all be-burned-to-ash before indeed them to-arrive rivalry
τε ἦν αὐτοῖς ὑπὲρ τοῦ τάχους, οὐκ ἐπισταμένοις ὡς
and was among-them for the speed not knowing that
τῷ νικῶντι συμβήσεται πρώτῳ τεθνάναι. ἅπαντες γὰρ
for-the(-one) winning it-will-befall first to-die all for
ἀμοιβαδὸν ὑπὸ τῶν Ῥωμαίων ἁλισκόμενοι, κατεκτείνοντο,
in-turn by the Romans being-caught were-killed
ὥσπερ τοῦδέ γε ἕνεκα μόνου παραγιγνόμενοι.
as-if this at-least for-the-sake only arriving
ἀπολώλασι τοιγαροῦν οὐ πολλῷ ἐλάσσους τῶν δισχιλίων.
perished accordingly not much fewer than-the two-thousand
τοσούτοις ἀνδράσιν ἐργοπόνοις, καὶ τὰ πολέμια ἥκιστα
for-so-many men laborers and the warlike(-things) least
μεμελετηκόσιν, ἔς τε παράταξιν οὐπώποτε ἀφιγμένοις,
having-practiced to and battle never having-come
αὐτομάτου τινὸς καὶ παραλόγου ὀλέθρου ὁ Ναχοραγὰν
of-spontaneous some and unexpected destruction — Nachoragan
αἰτιώτατος γέγονεν, ἀνόητα παρακελευσάμενος. οὕτως
most-responsible became foolish(-things) having-ordered so
ἄρα ἡ ἀλαζονεία οὐ μόνον αὐτοὺς σίνεται τοὺς
then the boastfulness not only very harms the(-ones)
κεκτημένους, ἀλλὰ γὰρ καὶ οὓς ἂν ἐκείνοις ὑπηρετεῖν
possessing-it but for also whom — them to-serve
συμβαίη καὶ πείθεσθαι. τούτων δὲ ὧδε ξυνενεχθέντων, οἱ
it-may-befall and to-obey these and thus having-befallen the
μὲν Ῥωμαῖοι εὐέλπιδες ὑπῆρχον ἐς τὰ μάλιστα, ὡς καὶ
indeed Romans hopeful were in the most as also
αὖθις ῥᾳδίως περιεσόμενοι εἴγε ἄρα καὶ ἀναμαχεῖσθαι
again easily going-to-prevail if-indeed then even to-renew-the-fight

οἱ βάρβαροι πειραθεῖεν. ὅσοι δὲ αὐτῶν ἐν τῇ μάχῃ
the barbarians should-try as-many-as and of-them in the battle
ἐτεθνήκεσαν, (ἦσαν δὲ οὐ πλείους ἢ διακόσιοι,) τούτους
had-died were and not more than two-hundred these
δὴ εὐπρεπέστατα ἔθαψαν, ὑπεραγάμενοι τῆς προθυμίας,
indeed most-splendidly they-buried admiring for-the zeal
ὡς ἄνδρας ἀγαθοὺς ἀποδεδειγμένους· τοὺς δὲ τῶν
as men good having-shown-themselves the and of-the
πολεμίων νεκροὺς σκυλεύσαντες, ὅπλων τε ἄφθονον πλῆθος
enemies dead having-stripped of-arms both abundant quantity
καὶ ἄλλων χρημάτων περιεβάλοντο. οὐ γὰρ μόνον ἀσπίδας
and of-other goods got-possession-of not for only shields
καὶ θώρακας τυχὸν καὶ γωρυτοὺς βελῶν ἔνιοι τῶν
and breastplates perhaps and quivers of-arrows some of-the(-ones)
κειμένων ἐπεφέροντο, ἀλλὰ στρεπτοὺς γὰρ παγχρύσους καὶ
lying carried but collars for all-golden and
περιδέραια καὶ ἐλλόβια, καὶ ἄλλα ἄττα τοιάδε θηλυπρεπῆ
necklaces and earrings and other some such effeminate
ποικίλματα καὶ περίεργα, ὁποίοις οἱ ἐντιμότεροι τῶν
ornaments and elaborate such-as the more-honored of-the
Μηδῶν ἐναγλαΐζονται, τοῦ μᾶλλον εἶναι ἀρίδηλοι καὶ
Medes pride-themselves for-the more to-be conspicuous and
τοῦ ἄλλου ὁμίλου ἀποκεκρίσθαι. ὁ δὲ Ναχοραγάν, ἐπειδὴ
from-the other throng to-be-distinguished — and Nachoragan since
αὐτὸν τά τε ἐπιτήδεια ἐλελοίπει, καὶ ἤδη χειμῶνος ὥρα
him the both provisions had-failed and already of-winter season
ἐπεγίγνετο, ἐᾠκει μὲν αὖθις πολεμησείοντι, καὶ ἐς τόδε
was-coming-on seemed indeed again wishing-to-fight and for this
συσκευαζομένῳ. οὐ μὴν ἔργῳ τὸ βούλευμα ἐπετέλει, ἀλλὰ
preparing not truly in-deed the plan carried-out but
τὸ τῶν Διλιμνιτῶν στῖφος τῇ ὑστεραίᾳ ἐκπέμψας ἀνὰ τὸ
the of-the Dilimnites troop on-the next-day having-sent-out over the

στάδιον, καὶ ἐς ἐκείνους ὁρᾷν τοὺς Ῥωμαίους ἀναπείσας,
field and to them to-look the Romans having-induced
ταύτῃ τε δόκησιν παρασχόμενος τοῦ ἐπελεύσεσθαι,
in-this-way and appearance having-given of-the to-attack
αὐτίκα ὅγε σχολαίτερον ἅμα τοῖς ἄλλοις στρατεύμασιν
at-once he more-leisurely with the other armies
ἐπὶ Κοτάϊσιν καὶ Μουχείρισιν ἐπορεύετο. ὡς δὲ πλεῖστον
to Cotaïsis and Mucheirisis marched when and most
ἤδη τῆς ὁδοῦ προεληλύθει, τότε δὴ καὶ οἱ Διλιμνῖται
already of-the road he-had-gone-ahead then indeed also the Dilimnites
λύσαντες τὴν τάξιν, εὐκολώτατα ἀπεχώρουν, ἅτε δὴ
having-broken the formation most-easily withdrew as indeed
κούφως ἀεὶ ἐσταλμένοι, καὶ ἄλλως ἄλκιμοι καὶ ποδώκεις.
lightly always equipped and otherwise stout and swift-footed
παρῆσαν δὲ αὐτοῦ καὶ ἡ ἄλλη Περσικὴ ἀπόμοιρα, οἱ
were-present and there also the other Persian detachment who
δὴ ἐτύγχανον παρὰ τὸν Νέοκνον ποταμὸν πρότερον
indeed happened to the Neocnus river before
ἀπεσταλμένοι διὰ τὴν Μαρτίνου ἀπάτην, ἥπέρ μοι
sent because-of the of-Martinus deceit as-very by-me
ἤδη ἐῤῥήθη. γνόντες γὰρ ὡς ἐνενίκηντο μὲν οἱ Πέρσαι,
already was-said having-learned for that had-been-beaten indeed the Persians
οἱ δὲ Ῥωμαῖοι ἁπάσης ἤδη τῆς χώρας ἐκράτουν, αὐτίκα
the and Romans all already the land held at-once
οἵγε πορείαν τινὰ διαλανθάνουσαν καὶ τῶν λεωφόρων
they route some escaping-notice and from-the highways
ἀποκεκριμένην διανύσαντες εἰς Μουχείρισιν ἵκοντο, τῶν
separate having-traveled to Mucheirisis came in-the
μὲν ἀγώνων ἥκιστα μετασχόντες, τοῦ δὲ τῆς φυγῆς
indeed contests least having-shared the and of-the flight
αἴσχους πολλῷ ἔτι ἀκλεέστερον μετειληφότες. ἐπειδὴ οὖν
disgrace much still more-ingloriously having-shared when then

ἅπας ὁ στρατὸς ἐνταῦθα ἐτύγχανε ξυναγηγερμένος, τότε
all the army there happened gathered then
δὴ τὸ πλεῖστον τῆς ἱππικῆς δυνάμεως καταλιπών,
indeed the most of-the cavalry force having-left
ἰλάρχην τε αὐτοῖς ἐπιστήσας Οὐαφρίζην, ἄνδρα
squadron-commander and over-them having-set Vaphrizes (a)-man
τῶν παρὰ Πέρσαις γνωριμωτάτων, αὐτὸς ξὺν ὀλίγοις
of-the among Persians most-notable himself with few
ἐς Ἰβηρίαν ἀπενόστησεν, ὡς ἐκεῖσε διαχειμάσων.
to Iberia returned so-as there going-to-winter

XIV · THE TRIAL OF RUSTICUS AND JOHN

With the Persians beaten, the inquiry into Gubazes' murder opens. Athanasius tries Rusticus and John, and the emperor's letter is read at the accusers' request. The Lazian accusers argue that the murder of an ally and a king loyal to Rome deserves the harshest penalty. Rusticus himself begins the defense: Gubazes was a traitor who favored Persia, and his killers served the emperor's interest.

Ἐς τοῦτο δὲ νίκης τοῖς Ῥωμαίοις τοῦ πολέμου 1
to this and of-victory for-the Romans the war
κεχωρηκότος, καὶ ὥσπερ ἀνακωχῆς τῶν δεινῶν
having-gone and as-it-were respite from-the terrors
γεγενημένης, τῶν τε ὅπλων τὸ παραυτίκα ἠρεμηκότων,
having-come the and arms the moment having-rested
τότε δὴ ἐς ζήτησιν ἤγετο τὰ ἐπὶ Γουβάζῃ
then indeed to inquiry were-brought the(-things) against Gubazes
πρότερον τετολμημένα. καὶ τοίνυν ὁ Ἀθανάσιος ἐπὶ θώκου
before dared and therefore — Athanasius on seat
τινὸς ὑψηλοῦ καθῆστο εὐπρεπῶς, χλαμύδα ἐνειμένος,
some high sat becomingly cloak clad-in
ὥσπερ ἀμέλει οἱ ἀστικώτατοι τῶν ἡγεμόνων. παρῆσαν
as certainly the most-urbane of-the governors were-present
δὲ αὐτῷ ἄνδρες γράφειν τε ἐς τάχος πεπαιδευμένοι, καὶ
and with-him men to-write both at speed trained and
ἐπιτροχάδην ἀναλέγεσθαι τὰ γεγραμμένα· ἄλλοι τε
fluently to-read-out the(-things) written other and
ὑπηρέται σοβαρώτεροι καὶ ἐμβριθεῖς, καὶ δαημονέστατοι
attendants rather-haughty and grave and most-skilled
τῆς τῶν δικαστηρίων κομψείας, κήρυκές τε μεγαλοβόαι,
in-the of-the courts refinement heralds and loud-voiced

καὶ οἱ τῶν μαστίγων ἐπιστάται. ἅπαντες δὲ οὗτοι ἐκ τῶν
and the of-the whips masters all and these from the
ἐν Βυζαντίῳ ἀρχείων ἐτύγχανον ἀπολελεγμένοι. ἐπεφέροντο
in Byzantium offices happened picked brought
δέ, οἷς τοῦτο ἀνεῖτο, δεσμούς τε σιδηροῦς περιαυχενίους,
and to-whom this was-assigned bonds both iron neck-rings
κλινοστρόφιά τε καὶ ποδοστράβας, καὶ ἄλλα ἄττα ὄργανα
racks and and foot-traps and other some instruments
κολαστήρια. καί μοι δοκεῖ βασιλεὺς Ἰουστινιανὸς οὐκ
of-punishment and to-me seems emperor Justinian not
ἀπεικὸς οὐδὲ αὐτομάτως ἀλλ᾽ ἐμφρονέστατα τοῦ δέοντος
unreasonably nor at-random but most-sensibly the needful
ἐστοχασμένος, ξὺν τοιᾷδέ τινι τάξει καὶ εὐκοσμίᾳ τὴν κρίσιν
having-aimed-at with such some order and decorum the trial
προελθεῖν παρακελεύσασθαι, οὐ μόνον ὅπως οἱ ἐκείνῃ
to-proceed to-have-ordered not only so-that the there
βάρβαροι, τῶν Ῥωμαϊκῶν σφίσι νομίμων κομπωδέστερον
barbarians the Roman to-them usages more-pompously
ἀναδεικνυμένων, θαυμάζοιέν τε αὐτὰ καὶ ἐπιπλέον
being-displayed might-admire both them and further
ἄρχεσθαι ὑπὸ τούτων ξυνεθισθεῖεν, ἀλλὰ καὶ ὅπως,
to-be-ruled by these might-grow-accustomed but also so-that
εἰ μὲν ὡς μηδίσας πρότερον ὁ Γουβάζης δικαιότατα
if indeed as having-medized before — Gubazes most-justly
φανείη ἀνῃρημένος, μηκέτι ἀνιῷντο οἱ Κόλχοι, μηδὲ ὥς
should-appear having-been-killed no-longer might-grieve the Colchians nor as
τι δεινὸν πεπονθότες ἀγανακτοῖεν. εἰ δέ γε ἅπαντα
something terrible having-suffered might-be-indignant if and at-least all
καταψευσάμενοι, καὶ ἄδικον μίασμα δράσαντες ἁλοῖεν
having-lied and unjust pollution having-done should-be-convicted
οἱ ἀπεκτονότες, οὕτω τε καταδιαιτηθέντες, καὶ ὑπὸ
the(-ones) having-killed so and condemned and under

κήρυκι πομπῷ ἀνὰ τὰ πλήθη περιηγμένοι, εἶτα τῷ
herald escort through the crowds led-round then by-the
παλαμναίῳ ξίφει, ἁπάντων θεωμένων, καρατομηθεῖεν, τότε
avenging sword all watching should-be-beheaded then
δὴ μεῖζόν τι δόξειεν εἶναι τὸ πέρας, καὶ διπλασίων
indeed greater somewhat might-seem to-be the end and double
ἡ τιμωρία. ἠπίστατο γὰρ ὡς, εἰ μὲν οὕτω πως ἐν
the punishment he-knew for that if indeed so somehow in
ἀπορρήτῳ βαρβαρικώτερον Ῥούστικόν τε καὶ Ἰωάννην
secret more-barbarously Rusticus both and John
διαφθαρῆναι παρακελεύσοιτο, οὐκ ἀποχρώντως ἡγήσασθαι
to-be-put-to-death he-should-order not sufficiently to-think
ἂν τοὺς Κόλχους τὴν ὕβριν αὐτοῖς ἀπεσκευάσθαι, οὐδὲ
— the Colchians the outrage for-them to-have-been-cleared nor
προσήκουσαν ποίνην κομίσασθαι τῶν ἡμαρτημένων.
fitting penalty to-have-obtained for-the wrongs
δικαστηρίου δὲ καταστάντος, καὶ ἀντιλογίας ἑκατέρωθεν
court and having-been-set-up and pleading on-each-side
προελθούσης, καὶ τῶν ὑπηρετῶν ἄνω τε καὶ κάτω
having-proceeded and the attendants up both and down
διαττόντων, καὶ ὅπως τῶν κρινομένων ἕκαστος ἐν
darting and how of-the(-ones) being-tried each in
κόσμῳ ἑστήξει καὶ ἀποκρινεῖται διαταττομένων, ὄγκου τε
order will-stand and will-answer arranging pomp and
δικαστικοῦ φαινομένου, καὶ μεγαληγορίας ἀκουομένης, καὶ
judicial appearing and grandiloquence being-heard and
ἐπὶ τούτοις τοῦ ὀλέθρου φρικωδέστερον ἐπιγιγνομένου·
upon these the death more-horribly following
τούτων δὴ οὖν οὕτω πρασσομένων, ἕτερόν τι αὐτοῖς
these indeed then so being-done other something to-them
μεῖζον καὶ μάλα εἰκότως φανεῖσθαι τὸ χρῆμα ἐγίγνωσκε,
greater and very reasonably to-appear the thing he-knew

καὶ τάχα τὴν ἀξίαν τοῦ ἐπικλήματος ὑπερβάλλον. ταῦτα
and perhaps the worth of-the charge exceeding these(-things)
γὰρ καὶ τοὺς ἐν Βυζαντίῳ ἀστούς, καίτοι θαμὰ ἐκεῖσε
for even the in Byzantium citizens although often there
γιγνόμενα, καταπλήττει καὶ ἐξίστησι τῶν φρονημάτων,
happening dismay and drive-out of-the wits
μή τί γε βαρβάρους καὶ οὐκ εἰθισμένους. τούτων
not at-all indeed barbarians and not accustomed these
μὲν οὖν ἕνεκα, οἶμαι, Ῥωμαϊκὸν δικαστήριον, μᾶλλον
indeed then for-the-sake I-think Roman court rather
μὲν οὖν Ἀττικώτατον, ὑπὸ τῷ Καυκάσῳ ξυνεκροτήθη.
indeed then most-Attic under the Caucasus was-assembled

2 Τότε δὲ Ῥούστικός τε καὶ Ἰωάννης, ἐκ τοῦ δεσμωτηρίου
then and Rusticus both and John from the prison
ἠγμένω, ἀνὰ τὸ λαιὸν μέρος ἑστήκατον, οἷα δὴ
brought on the left side stood as indeed
φεύγοντε. ἐπὶ θάτερα δὲ παρῆσαν κατηγορησείοντες
defendants on the-other(-side) and were-present wishing-to-accuse
τῶν Κόλχων οἱ ἐμφρονέστατοι, καὶ ἤδη ἐκπλείστου
of-the Colchians the most-sensible and already from-longest
τὴν Ἑλλάδα φωνὴν ἐκμεμαθηκότες. ἐδέοντο δὲ πρότερον
the Greek tongue having-learned asked and first
τὴν παρὰ βασιλέως ἐπιστολὴν ἐν κοινῷ ἀνακηρύττεσθαι,
the from (the)-emperor letter in public to-be-proclaimed
ἥνπερ ἐτύγχανε πρότερον ὁ Ἰωάννης τούτων δὴ
which-very happened before — John these indeed
πέρι τοῖς στρατηγοῖς διακομίσας· ἀλλὰ γὰρ καὶ τῷ
about to-the generals having-brought but for also to-the
διαιτητῇ ξυνδοκοῦν, γεγωνότερόν τις αὐτὴν τῶν ἐς
arbiter it-seeming-good more-loudly one it of-the(-ones) for
τοῦτο τεταγμένων διεξῄει, ὧδέ πως ἔχουσαν· “ἄπιστον
this appointed went-through thus somehow running incredible

μὲν καὶ παράλογον τὸ πρὸς ὑμῶν ἀνηγγελμένον,
indeed and strange the(-thing) by you reported
ὡς ἄρα βουλομένῳ ἐστὶ τῷ Γουβάζῃ, τὰ πάτρια ἔθη
that then wishing it-is — for-Gubazes the ancestral ways
καταπροεμένῳ καὶ τοὺς ἐν ἅπασιν ὁμόφρονας καὶ
having-abandoned and the in all like-minded and
ἀνέκαθεν ἡγεμόνας, τοὺς Ῥωμαίους φαμέν, ἐπὶ τοὺς
from-of-old leaders the Romans we-mean to the
ἐχθίστους τε καὶ ἀλλοτριωτάτους καὶ πρός γε τὰ
most-hostile both and most-alien and besides at-least the(-things)
ἐς θεὸν ἑτερογνώμονας μεταχωρῆσαι, καὶ ταῦτα οὐδὲν
toward God of-other-belief to-go-over and that nothing
ὁτιοῦν ἐξ ἡμῶν ἄχαρι προπεπονθότι. πλὴν ἀλλ᾽ ἐπειδὴ
whatever from us unpleasant having-suffered-before except but since
γιγνώσκομεν τὰ ἀνθρώπεια παλίμβολά τε καὶ ὀλισθηρά,
we-know the human(-things) changeable both and slippery
καὶ τῇ ποικιλίᾳ τῶν παρεμπιπτόντων συμπεριάγεσθαι
and with-the variety of-the incidents to-be-carried-round
πεφυκότα, οὐ παντάπασιν ἀπιστεῖν ᾠήθημεν χρῆναι, οὐδὲ
disposed not altogether to-disbelieve we-thought to-be-needful nor
μεθεῖναι μὲν τὸ φυλάξασθαι τὰ παρ᾽ ἐκείνου εἴτε
to-let-go indeed the to-guard-against the(-things) from him whether
ἴσως [διανοηθέντα μόνον] εἴτε πάντως βεβουλευμένα,
perhaps intended only or wholly planned
καταλιπεῖν δὲ ἐν ἡμῖν αὐτοῖς φροντίδα περιττὴν καὶ
to-leave and in us selves care superfluous and
ἀμφιῤῥόπους ἐννοίας, ἐπ᾽ ἀδήλῳ ἔτι κειμένου τοῦ τέλους.
wavering thoughts on uncertain still lying the outcome
καίτοι ἀλλόκοτόν τι καὶ ταραχῶδες τὸ μηδαμῶς ἐφ᾽
and-yet strange something and troublesome the in-no-way on
ὁτῳοῦν βεβαιότατα πεποιθέναι, ἀλλ᾽ ὑποψίας ἀεὶ
anything-whatever most-firmly to-trust but of-suspicion always

καὶ δείματος εἶναι μεστόν, καὶ ἐπ᾽ αὐτοῖς δήπου τοῖς
and fear to-be full and toward very surely the
ξυνηθεστάτοις. ὅμως (ἐν ἅπασι γὰρ τοῦτο νικᾷ) ἑπόμεθα
most-intimate nevertheless in all for this prevails we-follow
καὶ ἡμεῖς τῇ φύσει, καὶ ἀπιστοῦμεν. ὡς ἂν δὲ μήτε
also we the nature and disbelieve so-that — and neither
προπετῶς ὠμόν τι καὶ ἀπηνὲς δράσοιμεν ἐπὶ Γουβάζῃ,
rashly cruel something and harsh we-might-do to Gubazes
μήτε τῷ οὐκ εἰκότι δῆθεν ἀναπεπεισμένοι μαλθακισθείημεν,
nor by-the not likely forsooth persuaded might-grow-soft
ἀλλ᾽ ἐκφύγοιμεν τὰς ἑκατέρωθεν μεταμελείας, εὔβουλόν
but might-escape the on-either-side regrets well-advised
τι ἡμῖν κατεφάνη καὶ μέσως πως ἔχον, ἐνταῦθα
something to-us appeared and moderately somehow being here
τὸν ἄνδρα παραγενέσθαι. στέλλειν τοίνυν αὐτὸν τὴν
the man to-come to-send therefore him the
ταχίστην, εἴτε βουλόμενον, εἴτε ἠναγκασμένον. εἰ δέ
quickest whether wishing or compelled if and
γε ὑμᾶς ταῦτα ἐθέλειν ἐγνωκὼς ἀντισταίη, καὶ
at-least you these(-things) to-wish having-learned he-should-resist and
ἀπαναίνοιτο τὴν πορείαν, ἐπιλαμβανομένων τε ὑμῶν
refuse the journey seizing both you
καὶ ἑλκόντων, (καὶ γὰρ τοῦτο ποιεῖν ὑμῖν τοὐντεῦθεν
and dragging and for this to-do for-you thereupon
ἐξέσται,) εἰ δὲ διωθοῖτο καὶ ἀντεπιφέροιτο, καὶ
it-will-be-allowed if and he-should-thrust-off and fight-back and
ὅτῳ γοῦν τρόπῳ τὰς χεῖρας ἀντάροι, τότε δὴ
by-any at-any-rate way the hands should-raise-against then indeed
ἔξομεν περιφανεῖς τοὺς ἐλέγχους τῶν μελετωμένων,
we-will-have plain the proofs of-the(-things) planned
καὶ τολοιπὸν ἐν τοῖς πολεμιωτάτοις τετάξεται, ὥστ᾽,
and the-rest among the most-hostile he-will-be-ranked so-that

εἴ πού τις αὐτὸν τοιαῦτα τολμῶντα καὶ ἀποκτείνοι,
if anywhere anyone him such(-things) daring even should-kill
οὐδὲ τοῦτο ἡμῖν ἐσόμενον ἄπο τρόπου, οὐκοῦν οὐδὲ
not-even this to-us going-to-be out-of place therefore not-even
ποινὰς ὁ δράσας ὑφέξει τοῦ ἐγχειρήματος. οὐ γὰρ
penalties the(-one) having-done will-pay for-the deed not for
ὡς μιαφόνον αὐτὸν κολαστέον, ἀλλ᾽ ὡς τυραννοκτόνον
as murderer him one-must-punish but as tyrant-slayer
ἐπαινετέον.” ἡ μὲν οὖν παρὰ βασιλέως ἐπιστολὴ τοιάδε
one-must-praise the indeed then from (the)-emperor letter such
ἄττα ἐγκελευσαμένη διέγνωστο.
things having-ordered was-made-known

Αὐτίκα δὲ οἱ ἄνδρες τῶν Κόλχων, οἳ δὴ πρὸς 3
at-once and the men of-the Colchians who indeed for
τὸ κατηγορεῖν ἐτετάχατο, ἐπειδὴ αὐτοὺς ὁ δικαστὴς
the to-accuse had-been-appointed when them the judge
ἐψηφίζετο τὰ σφέτερα αὐτῶν δικαιώματα ᾗ βούλοιντο
bade the their-own own pleas as they-wished
προτιθέναι, οἱ δὲ προθύμως εἴχοντο τοῦ ἐπικλήματος,
to-set-forth they and eagerly held-to the charge
καὶ ἔλεξαν τοιάδε· “Ἀπόχρη μέν, ὦ δικαστά, τὸ
and said such(-things) it-suffices indeed O judge the
τετολμημένον, εἰ καὶ μηδὲν ὁτιοῦν φήσαιμεν, ποιναῖς
deed-dared if even nothing whatever we-should-say to-penalties
ταῖς μεγίσταις ὑπάγειν τοὺς δεδρακότας· πλὴν ἀλλὰ
the greatest to-bring the(-ones) having-done except but
τοῖς ὑμετέροις νόμοις δοκοῦν τὸ χρῆναι καὶ τῶν
to-the your laws seeming-good the to-be-needful even the
ἐμφανῶν πέρι καὶ μεγίστων ἀδικημάτων μὴ πρότερον
manifest about and greatest crimes not sooner
τὰς κρίσεις ἐκφέρειν, πρὶν ἂν καὶ λόγῳ τὰ πραχθέντα
the judgments to-deliver before — also in-word the deeds

διαγορεύειν, ἥκομεν νῦν ἐροῦντες μόνον ἁμωσγέπως
to-declare we-have-come now going-to-tell only somehow
τὰ γεγενημένα. οὕτω γὰρ ἂν καὶ ἡμῖν διανυσθήσεται
the(-things) having-happened so for — also by-us will-be-accomplished
τὸ νενομισμένον, εἰ καὶ τὰ τῶν λόγων εἶεν ἁπλᾶ καὶ
the customary if even the(-things) of-the words be simple and
ἥκιστα κεκομψευμένα, καὶ οἷα τοῦ μεγέθους τῶν
least embellished and such-as the greatness of-the(-things)
εἰργασμένων μὴ ἐξικνεῖσθαι. ποία γὰρ αὐτοῖς λελείψεται
done not to-reach what-sort for for-them will-be-left
σκῆψις, ἄνδρα τοσοῦτον, φίλον ὑμῖν καὶ συνήθη καὶ
excuse (a)-man so-great friend to-you and intimate and
σύμμαχον καὶ ὁμοδίαιτον καὶ ὁμόσπονδον, καὶ ταὐτὰ
ally and of-like-life and fellow-treaty-member and the-same
περὶ τὸ κρεῖττον φρονοῦντα, καὶ τί δὲ οὐχὶ τῶν
about the higher thinking and what too not of-the
οἰκειοτάτων κεκτημένον, ἀναίδην οὕτω διαχειρισαμένοις,
most-intimate(-things) possessing shamelessly so having-made-away-with
καὶ πολλῇ τῇ δυσμενείᾳ χρῆσθαι καθ’ ὑμῶν φωραθεῖσι,
and much the hostility to-use against you having-been-caught
τῷ τοὺς ἐχθροὺς τεθεραπευκέναι; βασιλεὺς γὰρ ὁ
by-the the enemies to-have-courted king for the(-one)
ἀνῃρημένος, ὦ δικασταί, καὶ ἔθνους οὐκ ἀγεννοῦς, καὶ πρὸς
slain O judge and of-nation not ignoble and toward
ἀρετὴν ἐνεργότατος, καὶ τὰ Ῥωμαίων στέργων ἀεὶ
virtue most-active and the(-things) of-Romans loving always
πολλῷ μᾶλλον τῶν ἀπεκτονότων. ἀνατετράφαται
much more than-the(-ones) having-killed have-been-overturned
δὲ τὰ Κόλχων πράγματα καὶ διερρύη, ἀληθέστερον
and the of-Colchians affairs and have-melted-away more-truly
δὲ τὰ κοινά, εἴ γε μέρος τι καὶ ἡμεῖς οὐκ
and the public(-affairs) if at-least part some also we not

ἐλάχιστον τῆς ὑπηκόου τυγχάνομεν ὄντες. καὶ διόλωλεν
least of-the subject(-realm) happen being and has-perished
ὑμῖν τὸ ἀκραιφνὲς τῶν καθεστώτων καὶ ἄπταιστον, καὶ
for-you the purity of-the established(-things) and unfaltering and
κατὰ πολὺ τῆς οἰκείας δυνάμεως μειονεκτεῖσθε· πολιτεία
by much of-the own power you-are-diminished polity
δὲ μὴ διὰ πάντων ἐῤῥωμένη, ἀλλὰ βραχείᾳ γοῦν
and not through all strong but in-small at-any-rate
τινι μοίρᾳ σφαλεῖσα, οὐκέτι συνεστάναι δόξειεν ἂν
some part having-failed no-longer to-hold-together would-seem —
προσηκόντως, τοὐναντίον μὲν οὖν καὶ αὐτὴν ψεύδεσθαι
fittingly the-contrary indeed then also itself to-belie
τὴν ἐπωνυμίαν, τὸ ἐντελῶς ἔχειν ἀφῃρημένη. ταῦτα
the name the completely to-be having-been-robbed-of these(-things)
δὴ οὖν ἅπαντα δράσαντες, οὗ φασι δεῖν ὑμᾶς τὸ
indeed then all having-done not they-say to-be-needful you the
πραχθὲν εἰ καὶ δεινὸν εἴη σκοπεῖν, μόνην δὲ τὴν γνώμην
deed if even terrible it-be to-consider only and the intent
καθ᾽ ἣν εἴργασται διερευνᾶν καὶ προσίεσθαι, καὶ διά
according-to which it-was-done to-search-out and to-admit and through
τινων ἀφανῶν τεκμηρίων καὶ οἷον εἰκότων χωροῦντας,
some unseen proofs and as-it-were likelihoods proceeding
ἀναπλάττειν ταῖς ἐννοίαις εὐεργεσίαν ὑμῖν αὐτοῖς ἐντεῦθεν
to-fashion in-the thoughts benefaction to-you selves thence
προσγεγενημένην, ἢ τῷ σαφεῖ μᾶλλον τῆς βλάβης
having-accrued than to-the clear rather of-the harm
καὶ τοῖς ἔργοις ἀποδεδειγμένῳ πιστεύειν αἱρεῖσθαι. ταῦτα
and by-the deeds shown to-trust to-choose these
γὰρ δὴ τὰ σοφίσματα καὶ πρὸ τῆς δίκης πολλάκις
for indeed the sophisms also before the trial often
διαθρυλλοῦντες, παράγειν τοὺς πλείστους ἡγοῦντο. εἰ τοίνυν
noising-about to-mislead the most they-thought if therefore

καὶ παρὰ τοὺς ἀγῶνας τοιαῦτα προσθεῖεν, γινωσκόντων,
also in the trials such(-things) they-should-add let-them-know
ὦ δικαστά, ὡς οὐ Ῥωμαϊκὸν οὐδὲ δίκαιον τὸ μὲν ἐμφανὲς
O judge that not Roman nor just the indeed manifest
οὕτω καὶ προῦπτον ἀδίκημα παραλιπεῖν, ἀδήλοις δὲ
so and plain crime to-pass-over by-uncertain and
μᾶλλον αἰτίαις ἄλλως αὐτοῖς μεμηχανημέναις ἐξαπατηθῆναι.
rather causes otherwise by-them contrived to-be-deceived
οὐ γὰρ ἀνεκτέον αὐτῶν, ὡς μὲν ἀπεκτόνασι τὸν ἄνδρα
not for one-must-bear them that indeed they-have-killed the man
διαῤῥήδην φασκόντων, ὠφέλειαν δὲ μεγίστην ἐνθένδε
expressly saying benefit and greatest thence
τοῖς κοινοῖς πεπορίσθαι πράγμασι τερατευομένων.
for-the public to-have-been-provided affairs telling-marvels
πῶς γὰρ ἂν τἀναντία συσταῖεν σφίσιν αὐτοῖς, ἢ
how for — the-contraries could-stand-together with-them selves or
πῶς, τὴν πρᾶξιν δεινὴν ἀποκαλοῦντες, ἐπαινεσόμεθα τὴν
how the deed terrible calling will-we-praise the
δράσασαν γνώμην, ὡς τοῦ συνοίσοντος ἐστοχασμένην;
having-done intent as the advantageous having-aimed-at
πάλαι γὰρ ἀλλήλοιν ἀποκεκριμένω τυγχάνετον ὠφέλεια
of-old for from-one-another separated happen benefit
καὶ παρανομία, ὠμότης τε καὶ δικαιοσύνη διεστηκότα
and lawlessness cruelty both and justice standing-apart
καὶ ἄμικτα καὶ ὁμόσε χωρεῖν οὐπώποτε πεφυκότα.
and unmixable and together to-go never disposed
4 Εἰ δέ γε καὶ γυμνὴν τὴν διάνοιαν ἐξεταστέον,
if and at-least even bare the intention one-must-examine
φανήσονται καὶ ταύτῃ δύσνοι καὶ κάκιστοι, ὡς δὴ
they-will-appear also in-this-way ill-disposed and worst as indeed
τὰ τοὺς Πέρσας ἀρέσκοντα βεβουλευμένοι· ὥστε οὐδὲ
the(-things) the Persians pleasing having-planned so-that not-even

Ῥωμαίους ὀνομάζειν τούσδε τοὺς μιαφόνους προσήκει,
Romans to-name these the murderers it-befits
οὐδὲ ὡς ὁμοφύλοις μετ᾽ εὐνοίας διαιτητέον αὐτοῖς, ὅτι μὴ
nor as kinsmen with goodwill one-must-judge them except —
καθάπερ λίαν ἐχθίστοις, ἐπεὶ καὶ ἤδη τῷ κοινῷ τῆς
just-as very most-hostile(-ones) since also already by-the common of-the
φύσεως νόμῳ μεμερισμένοι τυγχάνουσι, κἂν μήπω τῷ
nature law separated they-happen even-if not-yet by-the
παρ᾽ ὑμῖν γεγραμμένῳ. τὸ γὰρ ἀντίπαλον καὶ ἀλλότριον
among you written the for hostile and alien
τοῖς ἔργοις γνωρίζεσθαι χρή, οὐ τῷ ποῤῥωτέρω
by-the deeds to-be-recognized it-is-needful not by-the farther
τετάχθαι. ὁ δέ, οἷς ἂν ἡσθείην οἱ δυσμενεῖς, ταῦτα
to-be-placed he and at-which — might-rejoice the enemies these(-things)
προὔργου ποιούμενος, πολέμιος ἂν κριθείη δικαίως,
useful counting enemy — would-be-judged justly
κἂν συμπαρῇ, κἂν συστρατεύοιτο, κἂν ὡς ἐγγύτατα
even-if he-be-present-with even-if he-campaign-with even-if as nearest
τῷ γένει συνῆπται. ἀλλὰ γὰρ οὐ φίλον οὐδὲ βασιλέα
in-the kin he-is-joined but for not friend nor king
φασὶν ἀπεκτονέναι, πολέμιον δὲ μᾶλλον καὶ τύραννον καὶ
they-say to-have-killed enemy and rather and tyrant and
τὰ Περσῶν ἐσπουδακότα. πρὸς τοῦτο γὰρ ἐληλάκασι
the(-things) of-Persians having-pursued to this for they-have-driven
παρανομίας, ὡς μηδισμοῦ διώκειν τὸν κείμενον· καὶ
of-lawlessness as for-medism to-prosecute the dead(-man) and
περιέστηκε τῷ δειλαίῳ μηδὲ τεθνηκότι τῶν δεινῶν
it-has-befallen the wretch not-even having-died from-the terrors
ἀπηλλάχθαι, ἀλλὰ νῦν προδοσίας φεύγειν γραφὴν ὅτε
to-be-freed but now of-treason to-defend indictment when
μηδὲν πλέον ἕξει νικῶν. ποῖος δὲ νόμος ἢ παρ᾽ ὑμῖν
nothing more he-will-have winning what-sort and law either among you

ἢ παρὰ βαρβάροις ἐπαινέσειεν ἂν κατηγορίαν ἐν ὑστέρῳ
or among barbarians would-approve — accusation in later
τῆς κρίσεως γιγνομένην; κριταὶ γὰρ αὐτοὶ καὶ δυσμενεῖς
than-the trial happening judges for themselves and enemies
καὶ κατήγοροι, καὶ ἅμα πάντα καταστάντες, τιμωρίαν
and accusers and at-once all having-become punishment
μὲν ἀνεξετάστως τῷ μηδὲν ἡμαρτηκότι προσήγαγον,
indeed without-examination to-the(-one) nothing having-erred applied
ὁποίαν εἰκὸς ἦν ὑποσχεῖν τὸν ὡς ἀληθῶς τυραννίδος
such-as fitting it-was to-undergo the(-one) as truly of-tyranny
ἁλόντα. ἥκουσι δὲ νῦν, δέον ἀπολογεῖσθαι,
convicted they-have-come and now it-being-needful to-defend-themselves
καταιτιώμενοι τὸν ἠδικημένον· καίτοι ἐχρῆν αὐτοὺς
accusing the(-one) wronged and-yet it-was-needful them
πρὶν ἀνελεῖν, εἴ γε ταῖς αἰτίαις ἐπεποίθεσαν, ἐμφανῶς
before to-kill if at-least in-the charges they-trusted openly
τὴν πρὸς αὐτὸν ἐνστήσασθαι δίκην, καὶ πρώτους ἐγκαλεῖν,
the against him to-institute suit and first to-accuse
ἀλλὰ μὴ νῦν κατηγορημένους ἀντεγκαλεῖν. εἰ γὰρ τοῦτο
but not now accused to-counter-accuse if for this
πᾶσιν ἐφεῖται, τί δήποτε ἄρα μὴ καὶ ἡμεῖς τούσδε
to-all is-permitted why ever then not also we these
τοὺς μιαιφόνους αὐτοχειρίᾳ διεχρησάμεθα; παρὸν ἡμῖν,
the murderers with-own-hand destroyed it-being-possible for-us
πρὸς δίκην τυχὸν ἀγομένοις, ἀντεπιφέρειν αὐτοῖς καὶ
to trial perhaps being-brought to-bring-against them even
τεθνηκόσι τὰ παρ᾽ αὐτῶν πρότερον ἡμαρτημένα, καὶ
dead the(-things) by them before erred and
ταύτῃ πειρᾶσθαι δεικνύειν τὸ εὐλόγως ἀνθημαρτηκέναι;
in-this-way to-try to-show the reasonably to-have-erred-in-return
μᾶλλον γὰρ ἡμεῖς, ἐπὶ σαφέσι τοῖς προϋπηργμένοις
rather for we at plain the(-things) previously-done

χαλεπήναντες, ἐνδίκως ἂν ἠμυνόμεθα τούτους· καὶ
having-been-angered justly — would-have-punished these and
τὰ τῆς ἀντιλογίας προσηκόντως ἐχώρει. ἀλλ᾽ οὐδὲ
the(-things) of-the defense fittingly would-go but neither
πρὸς ἡμῶν οὐδὲ πρὸς ἑτέρων τὰ τοιάδε τολμᾶσθαι
by us nor by others the such(-things) to-be-dared
χρεών, εἴ γε κατὰ τοὺς πατρίους ὑμῖν νόμους
needful if at-least according-to the ancestral of-you laws
πολιτευτέον. φέρε γὰρ εἰ τοῖς βουλομένοις ἐξῇ
one-must-live come for if for-the(-ones) wishing it-be-allowed
τοὺς οἰκείους δυσμενεῖς οὕτω πως ἀθρόον ἀποκτιννύναι,
the own enemies so somehow summarily to-kill
καὶ τοῦτο πολλάκις γιγνόμενον μέχρι τοῦ ἐπ᾽ ἄπειρον ἤδη
and this often happening till the to infinity already
τολμᾶσθαι προσενεχθείη, πῶς ἂν ὑμῖν τὸ γοῦν κρίνειν
to-be-dared should-be-carried how — for-you the at-any-rate to-judge
ἀδεῶς ἐν βεβαίῳ διαμένοι; ἁπάντων γὰρ ἀναιρούντων
fearlessly in security could-remain all for killing
τε καὶ ἀναιρουμένων, καὶ ταῖς ἀντεπιβουλαῖς χρῆσθαι
both and being-killed and the counter-plots to-use
κατ᾽ ἀλλήλων θαῤῥούντων, οὐκ ἂν φθάσοιτε τὰς
against one-another daring not — you-would-keep-pace the
τιμωρίας ἐπάγοντες, ἀλλὰ διαφθαρεῖται μὲν εἰκῇ τὸ
punishments applying but will-be-destroyed indeed at-random the
ὁμόφυλον, προαφαιρήσει δὲ τὸν τῆς ἐξετάσεως καιρὸν
kindred will-take-away and the of-the inquiry time
ἡ τῶν ἀντιδρώντων ἑκάστοτε παρανομία.
the of-the(-ones) retaliating each-time lawlessness
“Καίτοι τί δεινὸν εἶναί φασιν, εἴπερ ἑνὸς ἀνδρὸς καὶ 5
and-yet what terrible to-be they-say if-indeed one man and
τούτου προδότου διαφθαρέντος, ἅπαν ὑμῖν τὸ συμμαχικὸν
that traitor having-been-destroyed all for-you the allied(-force)

σωφρονέστερον καθεστήξει; προδοτῶν μὲν οὖν ὡς ἀληθῶς
more-prudent will-be traitors indeed then as truly
καὶ πλείστων ὅσων ἀπολλυμένων, εἰ καὶ μηδὲν ἕτερον
and most as perishing if even nothing other
τῶν ὠφελίμων τοῖς ἀνῃρηκόσι προσγένοιτο, ἀλλ'
of-the(-things) useful to-the(-ones) having-killed should-accrue but
αὐτό γε τὸ τοὺς τοιούτους θνήσκειν ἀρκούντως ἔχει
itself at-least the the such to-die sufficiently is
πρὸς ὄνησιν. εἰ δὲ προδοσίας μηδαμῶς ἀποδεδειγμένης,
for benefit if and treason in-no-way having-been-proved
ἠφάνισταί τις ἀθρόον τῶν σφόδρα λογίμων καὶ
has-been-made-away-with one suddenly of-the very notable and
τετιμώρηται, καθάπερ διαφανῶς ἐγνωσμένος, πῶς ἂν
has-been-punished as-if clearly found-out how —
ὑμῖν ἐνθένδε τὸ συμμαχικὸν σωφρονήσειε; πῶς δὲ οὐκ
for-you thence the allied(-force) would-grow-prudent how and not
ἂν μᾶλλον καὶ διαλύσαιεν τὰ συγκείμενα, εἴ γε
— rather even would-they-dissolve the(-things) agreed if at-least
κοινωνοὺς ὑμᾶς ὑπάρχειν τοῦ μιάσματος οἰηθεῖεν;
partners you to-be of-the pollution they-should-think
λογιζόμενοι, ὡς εἴ γε πρὸς τοὺς οἰκειοτάτους ὑμῖν καὶ
reckoning that if at-least toward the closest to-you and
συνήθεις φειδοῦς ἥκιστα μέτεστι καὶ δικαιοσύνης, σχολῇ
intimates of-mercy least there-is-a-share and of-justice hardly
γε ἂν βέβαιοι διαμενεῖτε πρὸς τοὺς ἀλλογενεῖς καὶ
at-least — steadfast you-will-remain toward the foreign and
ὀθνείους, καὶ τῆς προσπεσούσης χρείας, οὐ περαιτέρω
alien and than-the arising need not further
γνωριζομένους. ἀλλ' οὔτε μετειλήφατε τοῦ βουλεύματος,
known but neither you-shared the plan
οὔτε τὸ τούτοις ἰδίᾳ προσκείμενον ἄγος ἐπὶ τὸ σύμπαν
nor the to-these privately attached curse to the whole

τῶν Ῥωμαίων ἔθνος ἀναδραμεῖται· οὔτε τὴν πάλαι
of-the Romans nation will-run-up nor the of-old
περὶ ὑμῶν κρατήσασαν δόξαν, ὡς ἄρα πιστοὶ τὰ
about you prevailing opinion that then faithful the
ἤθη καὶ βέβαιοι καθεστήκατε, καὶ δικαίοις χρῆσθε
manners and steadfast you-are and just you-use
νόμοις, ἡ τούτων νικήσει κακοδαιμονία. τοὐναντίον
laws the their will-overcome wretchedness the-contrary
γὰρ καὶ ἡγούμεθα τὸ παρὸν δικαστήριον ὑπὲρ τῆς
for also we-think the present court for the
κοινῆς τοῦ γένους εὐκλείας συνεστηκέναι, ὅπως ἂν
common of-the race good-name to-have-been-convened so-that —
ἅπαντες ἄνθρωποι γνοῖεν, ὡς οὐδαμῶς ἦν ὑμῖν
all men might-know that in-no-way it-was to-you
βουλομένοις τοιαῦτα τοὺς Κόλχους δεινὰ καὶ βίαια
wishing such the Colchians terrible(-things) and violent
πεπονθέναι. νῦν μὲν γὰρ ἴσως ἐφ' ἑκάτερα τῶν πολλῶν
to-have-suffered now indeed for perhaps to either-way of-the many
φοιτῶσιν αἱ γνῶμαι, καὶ τὰ τῆς δοκήσεως ἐπ'
go the opinions and the(-things) of-the belief on
ἀδήλῳ φέρεται τρόπῳ. ἐκ δὲ τῆς σῆς, ὦ δικαστά,
uncertain are-carried way from and the your O judge
κρίσεως τούτων ὅσον οὔπω διαφθειρομένων, γενήσεται
judgment these as-much not-yet being-destroyed it-will-become
καὶ νῦν γνωριμώτερον, ὡς οὐ προδόται τῶν οἰκείων,
even now better-known that not betrayers of-the own
ἀλλὰ σωφρονισταὶ τῶν ἀδικούντων εἶναι πεφύκατε.
but chasteners of-the(-ones) doing-wrong to-be you-are-disposed
εἰ γὰρ καὶ τοῖς λόγοις ἀπολογεῖσθαι δοκοῦσιν, ἀλλ'
if for even by-the words to-defend-themselves they-seem but
ἔργῳ κατηγοροῦντες σφῶν αὐτῶν ἀποδείκνυνται καὶ
in-deed accusing them selves are-shown and

τὸ παράλογον τῆς μιαιφονίας ὁμολογοῦντες. τὸ μὲν
the strangeness of-the bloodshed confessing the indeed
γὰρ βασίλειον γράμμα παρακελεύεται τοῖς στρατηγοῖς
for royal letter orders the generals
στέλλειν κατὰ τὸ Βυζάντιον τὸν Γουβάζην, πειθοῖ
to-send to — Byzantium — Gubazes by-persuasion
μὲν τὸ πρῶτον, ἀνηκουστοῦντα δὲ καὶ πρὸς ἀνάγκης,
indeed the first disobeying and even by necessity
ἐναντιούμενον δὲ καὶ βιαζομένοις· ἀποκτεῖναι δὲ μηδαμῶς
opposing and even forcing to-kill and in-no-way
πρὶν ἂν ἐκεῖνος, ἐς τελεωτάτην ἀπόστασιν ἀφιγμένος,
before — he to most-complete revolt having-come
τὰ πολεμίων δρᾷν προαχθείη. οἱ δὲ καὶ ταῦτα μήτε
the(-things) of-enemies to-do should-be-led they and and that neither
στρατηγοὶ καθεστῶτες, μήτε ἄλλως ἐφειμένον αὐτοῖς
generals being nor otherwise it-being-allowed to-them
ἀδεῶς ἃ βούλοιντο πράττειν, παραχρῆμα τὸν δείλαιον
fearlessly what they-wished to-do at-once the wretch
ἀπεκτόνασιν, οὔτε κατὰ τὸ Βυζάντιον αὐτὸν γενέσθαι
have-killed neither to — Byzantium him to-go
προτρέψαντες, οὔτε μὴν ὥσπερ ἀπειθοῦντι μετρίαν γοῦν
having-urged nor truly as to-disobeying moderate at-any-rate
ἀνάγκην ἐπαγαγόντες, οὔτε τὴν ἀρχὴν ἐς πεῖράν τινα
compulsion having-applied nor the beginning to trial any
καταστάντες, εἴπερ ὁτῳδηοῦν τρόπῳ τοῦ προστάγματος
having-come if-indeed by-whatever way the command
ὀλιγωρήσει. καίτοι μεγαλαυχοῦσι καὶ βρενθύονται, ὡς
he-will-slight and-yet they-boast and swagger as
τὰ βασιλεῖ δοκοῦντα διανύσαντες, οἵγε καὶ τὴν
the(-things) to-(the)-emperor seeming-good having-accomplished who also the
ἐκείνου περιορῶντες πεφήνασι γνώμην, ψευδέσι τε χρῆσθαι
his disregarding have-appeared will false and to-use

πρότερον κατὰ Γουβάζου διαβολαῖς τετολμηκότες, καὶ
before against Gubazes slanders having-dared and
τἀναντία τῶν εὖ διατεταγμένων αὐτεπαγγέλτως
the-contrary of-the(-things) well ordered of-own-accord
ἐξειργασμένοι, καί, τὸ δὴ πάντων παρανομώτερον, οὔτε
having-done and the indeed of-all more-lawless nor
τὴν ἐπιστολὴν ἐπιδείξαντες, ὥστε τῶν ἐγγεγραμμένων
the letter having-shown so-that the(-things) written
γνωσθέντων τὸ πρακτέον ἑλέσθαι.
having-been-known the(-thing) to-be-done to-choose
"Πῶς οὖν οὐ παντὸς ὀλέθρου καὶ τιμωρίας ὑπέρτερα 6
how then not than-all destruction and punishment higher
πάσης τὰ τετολμημένα δόξοιεν ἄν; ἀδικία γὰρ
all the(-things) dared would-seem — injustice for
καὶ κατ' ἄλλου του γιγνομένη φευκτόν τι καὶ
even against other any happening to-be-shunned something and
ἀπειρημένον, μάλιστα δὲ εἰ φίλον καὶ εὔνουν καὶ
forbidden most and if friend and loyal and
πολλάκις προκεκινδυνευκότα τῶν πέλας εἶναι συμβαίη
often having-risked-for the neighbors to-be it-befall
τὸν ἠδικημένον. τίς γὰρ ὁ τοῦ Περσῶν πλούτου καὶ
the(-one) wronged who for the(-one) the of-Persians wealth and
τῶν προτεινομένων ἁπάντων τὴν πρὸς ὑμᾶς εὔνοιαν
the(-things) offered all the toward you loyalty
ἀλλαξάμενος; τίς ὁ τὴν Χοσρόου φιλίαν ὑπεριδών,
having-preferred who the(-one) the of-Chosroes friendship having-disdained
καί, παρὸν ἐκεῖσε πρὸς μεγίστην εὐδαιμονίαν χωρῆσαι,
and it-being-possible thither to greatest prosperity to-go
τὸ παρ' ὑμῖν ἔλαττον ἀγαπήσας; τίς ὁ πρότερον
the(-thing) with you lesser having-loved who the(-one) before
τῆς χώρας ὑπὸ Μήδων ἐπὶ πλεῖστον χρόνον πιεζομένης,
the land by Medes for longest time being-oppressed

καὶ τῆς παρ᾽ ὑμῶν ἐπικουρίας ἔτι μελλούσης, μεταστὰς
and the from you help still delaying having-removed
ἀθρόον καὶ μετοικισάμενος ἐπ᾽ αὐτὰς δήπου τὰς ὑπερβολὰς
suddenly and having-moved-house to very surely the heights
τοῦ Καυκάσου, ἐνταῦθά τε θηριώδη τινὰ δίαιταν μᾶλλον
of-the Caucasus there and beastly some life rather
ὑποστὰς μετιέναι, ἢ προσηκάμενος τὴν τῶν πολεμίων
having-undertaken to-pursue than having-accepted the of-the enemies
φιλοφροσύνην καὶ καταβὰς οἴκοι μένειν ἐν εὐπαθείᾳ;
kindness and having-come-down at-home to-remain in comfort
τίς δὴ οὖν οὗτος; ἐκεῖνος ὁ μηδὲν τῶν δεινῶν,
who indeed then this that the(-one) nothing of-the terrors
ἤν τι παθεῖν ὑπὲρ ὑμῶν ἔδει, κατορρώδήσας,
if anything to-suffer for you it-was-needful having-dreaded
Γουβάζης, ὦ νόμοι καὶ δίκη! ὁ μηδίσας, ὁ τύραννος,
Gubazes O laws and justice the(-one) having-medized the tyrant
ὁ τὰ Ῥωμαίων καταπροέμενος· καὶ τέθνηκεν
the(-one) the(-things) of-Romans having-betrayed and he-has-died
ὑπὸ Ῥουστίκου τε καὶ Ἰωάννου, βδελυρῶν οὕτω καὶ
by Rusticus both and John loathsome so and
καταπτύστων ἀνθρώπων, ἀνὴρ βασιλεύς· ᾧπερ εἰ
despicable men (a)-man king to-whom-very if
καὶ τοιούτου μετῆν ὡς ἀληθῶς ἐπικλήματος, ἀλλ᾽ οὐχ
even such belonged as truly charge but not
ὑπὸ τούτων αὐτὸν ἐχρῆν εὐθὺς ἁνηρπάσθαι, κριθέντα
by these him it-was-needful at-once to-be-snatched-away judged
δὲ μᾶλλον σχολαίτερον ὑπὸ τοῦ κοινοῦ Ῥωμαίων τε
and rather more-leisurely by the common of-Romans both
καὶ Κόλχων βασιλέως, ἅτε δὴ μεγίστου καὶ τῷ
and of-Colchians emperor as indeed greatest and in-the
παντὶ κρείττονος, προσηκόντως τιμωρηθῆναι. ἀλλ᾽ ἐπειδὴ
all superior fittingly to-be-punished but since

ταύτης δὴ τῆς μιαιφονίας αἰτία μὲν αὐτοῖς ἔνδικος οὐχ
of-this indeed the bloodshed cause indeed for-them just not
ὑπῆν, δυσμένεια δὲ μᾶλλον παράλογος ὑπὸ βασκανίας
was hostility and rather unreasoning by malice
εἰς τοῦτο κακοῦ προηγμένη, εἰκότως εὐβουλίᾳ μὲν καὶ
to this of-evil led-on reasonably to-good-counsel indeed and
λογισμῷ σώφρονι καὶ τῇ τοῦ συνοίσοντος ἐπιγνώσει
to-reasoning sober and to-the of-the advantageous recognition
οὐδένα παρῆκαν καιρόν, μόνῳ δὲ τῷ αὐθαδιαζομένῳ τῆς
no they-allowed time alone and to-the willful of-the
ψυχῆς καὶ χαλεπαίνοντι πολλὴν παρέσχον αὐτονομίαν·
soul and angry much they-gave free-rein
καὶ τὸ μελετηθὲν ἐκπλείστου καὶ ὠδινόμενον οὕτω
and the(-thing) planned from-longest and labored so
πως ἐκ τοῦ παρείκοντος ἔδρασαν, ὡς μήτε τὴν ἀκμὴν
somehow from the at-hand they-did so-as neither the crisis
τοῦ παρόντος χρόνου φυλάξασθαι, μήτε μὴν διανοηθῆναι.
of-the present time to-guard-against nor truly to-consider
πολέμου γὰρ τοσούτου περιεστηκότος, ἐμφρόνων μὲν
war for so-great surrounding of-sensible indeed
ἀνδρῶν ἔργον ἂν ἦν καὶ τὰ ξένα καὶ οὔπω
men task — would-be even the foreign and not-yet
γνώριμα τῶν ἐθνῶν εὐνοίᾳ προσάγεσθαι. οὗτοι δὲ καὶ
known of-the nations by-goodwill to-win-over these and even
τοὺς πρώην οἰκειοτάτους ἐκπολεμῶσαι Ῥωμαίοις περὶ
the lately closest to-make-hostile to-Romans of
πλείστου πεποίηνται· καί, τό γε ἧκον εἰς αὐτούς,
most(-account) have-held and the(-part) at-least coming to them
προσκεχωρήκαμεν τοῖς ἐναντίοις, ἐπιβουλεύομεν τοῖς
we-have-gone-over to-the opponents we-plot against-the
πάλαι φιλτάτοις, ἡ χώρα Περσῶν, τὰ πατρῷα νόμιμα
of-old dearest the land of-Persians the ancestral usages

φροῦδα, πάντα συμβέβηκεν ἀτεχνῶς, ὁπόσα στάσεώς τε
gone all has-befallen utterly as-many-as of-faction both
καὶ ταραχῆς ἐμφυλίας γνωρίσματα μανιώδη. οὐκοῦν ὡς
and of-disorder civil tokens mad therefore as
τούτων ἁπάντων ἔργῳ προελθόντων, καὶ πανταχόθεν ἡμῖν
these all in-deed having-come-forth and from-everywhere for-us
τῶν πραγμάτων διαῤῥυέντων, οὕτω ποινὰς ἀξίας αὐτοῖς,
the affairs having-melted-away so penalties worthy on-them
εἴπερ ἄρα καὶ εὑρεῖν ἔνεστιν, ἐπακτέον. εἰ γὰρ καὶ ἡμεῖς
if-indeed then even to-find it-is-possible one-must-inflict if for even we
πιστοὶ πρὸς Ῥωμαίους καὶ βέβαιοι τυγχάνομεν ὄντες,
faithful toward Romans and steadfast happen being
ἀλλ᾽ οὐ δίκαιον, ὦ δικαστά, τῆς ἡμετέρας ἐπιεικείας
but not just O judge the our clemency
τούτους ἀπόνασθαι, καὶ ἧττόν τι παθεῖν, ἢ καθόσον
these to-profit-by and less somewhat to-suffer than as-far-as
ἡ τοῦ ἐγχειρήματος βούλεται φύσις."
the of-the deed wills nature

7 Οὕτω δὲ τῶν κατηγόρων τοῖς ἐπικλήμασι χρησαμένων, τὰ
so and the accusers the charges having-used the
πλήθη τῶν Κόλχων (αὐτοῦ γὰρ συνήθροιστο) ἐπαΐειν
multitudes of-the Colchians there for they-had-gathered to-understand
μὲν οὐ μάλα ἠδύναντο τῆς τῶν λόγων ἀπαγγελίας ἢ
indeed not very they-could the of-the words delivery or
τῆς τῶν νοημάτων δεινότητος· ὅμως δὲ τὸ χρῆμα
the of-the thoughts cleverness nevertheless and the thing
γιγνώσκοντες ἐφ᾽ ᾧπερ ἕκαστα ἐτύγχανε προηγμένα,
knowing to which-very each-thing happened directed
ἀγωνιζομένοις τε αὐτοῖς ἔτι συνεμόχθουν τῇ προθυμίᾳ,
contending and with-them still they-toiled-with in-the eagerness
καὶ συμπεριήγοντο ταῖς μεταβολαῖς τῶν σχημάτων· οὕτω
and were-carried-round with-the changes of-the figures so

τε τὰς ψυχὰς διέκειντο, ὡς ἂν αὐτοῖς ἐκεῖνοι φρονήματος
and the souls were-disposed as — to-them those of-spirit
ἔχειν ἢ οἴκτου ἐδόκουν. καὶ εἶτα ἐπειδὴ τοῦ ῥητορεύειν
to-have or of-pity seemed and then when from-the speechifying
ἐπέπαυντο, αὐτίκα οἵγε, ἐπισχόντος βραχὺ τοῦ δικαστοῦ
they-had-ceased at-once they pausing briefly the judge
καὶ βουλευομένου, κατεμέμφοντο ἡσυχῇ καὶ ἠγανάκτουν
and deliberating blamed quietly and were-indignant
ὅτι δὴ μὴ εὐθὺς οἱ ἐναντίοι ἀνῄρηντο· τοῦ δὲ
that indeed not at-once the opponents had-been-killed he and
παρακελευσαμένου καὶ λέγειν αὐτοῖς ἅττα ἂν ἐθελήσαιεν,
having-bidden also to-speak them whatever — they-might-wish
τότε δὴ καταβοᾶν ἐς τὸ ἐμφανὲς ἵεντο, καὶ ἤδη
then indeed to-shout-down into the open they-were-eager and already
ὑπετονθόρυζον, καὶ ἤδη ἡ φωνὴ ἐς τὸ σαφέστερον
muttered and already the voice to the clearer
διεκρίνετο. ἀλλ᾽ οἱ πρὸς τὸ κατηγορεῖν τεταγμένοι,
was-distinguished but the(-ones) for the to-accuse appointed
ταῖς χερσὶ καταπαύοντες, ἀνέκοψαν τὴν περαιτέρω φοράν
with-the hands calming checked the further course
τοῦ θορύβου. καὶ τοίνυν σιγῆς γεγενημένης, παρελθὼν
of-the uproar and therefore silence having-come having-come-forward
καὶ Ῥούστικος ἐν μέσῳ ἅμα Ἰωάννῃ τῷ ἀδελφῷ, ἔλεξε
also Rusticus in middle with John the brother said
τοιάδε· “Μετήγαγε μὲν ἡμῖν ἀθρόον καὶ περιέστησεν
such(-things) transferred indeed for-us suddenly and turned
εἰς τοὐναντίον τὰς τῶν δοκηθέντων ἐκβάσεις ἡ
to the-contrary the of-the(-things) expected outcomes the
τύχη, καί, δέον μεγίστων γερῶν ἀπόνασθαι, πάρεσμεν
fortune and it-being-due greatest rewards to-enjoy we-are-here
θανάτου φευξούμενοι δίκην· πλὴν ἀλλ᾽ ἥδιστος ἡμῖν
of-death going-to-defend charge except but sweetest to-us

ὁ ἀγὼν καταφαίνεται καὶ πλείστης ὅσης μεγαλαυχίας
the contest appears and of-most as pride
ἀνάπλεως. γενήσεται γὰρ ἅπασι γνωριμώτερον, ὡς μόνοις
full it-will-become for to-all better-known that by-alone
ἡμῖν διήνυσται τὸ προδότην ἄνδρα καὶ τύραννον
us has-been-accomplished the traitor man and tyrant
ἀπολωλέναι, καὶ τὰ βασιλέως πράγματα τὸ μέρος
to-have-perished and the of-(the)-emperor affairs the part
διασεσῶσθαι· ὥστε εἰ καὶ τεθνάναι συμβαίη, στέρξοιμεν ἂν
to-have-been-saved so-that if even to-die it-befall we-would-accept —
καὶ ὡς ἄσμενοι καθάπερ τι προσφιλὲς καὶ αὐθαίρετον
even so glad as-if something dear and self-chosen
τὸ ἀνιαρὸν καὶ ἠναγκασμένον· καὶ οἰχησόμεθα κάλλιστον
the grievous and compelled and we-will-depart finest
τοῦτο πρὸς εὐθυμίαν ἐφόδιον ἔχοντες, τὸ γιγνώσκειν ἐν ἡμῖν
this for cheer provision having the to-know in us
αὐτοῖς, ὡς τοὺς Ῥωμαίους κρατοῦντας ἔτι τῶν Κόλχων
selves that the Romans ruling still the Colchians
καταλελοίπαμεν, καὶ οὔπω παρ᾽ ἑτέρων ἀφῃρημένους.
we-have-left and not-yet by others deprived
εἰ μὲν γὰρ Περσικὸν ἦν τὸ παρὸν δικαστήριον, καὶ
if indeed for Persian were the present court and
παρ᾽ ἐκείνοις ἐκρινόμεθα, πάντως ἂν ἡμῖν ἀρνήσεώς τε
before them we-were-being-tried by-all-means — for-us of-denial both
προσέδει τῶν εἰργασμένων, καὶ δεδιέναι παρῆν
there-would-be-need of-the deeds and to-fear it-would-be-ours
τοὺς ἐλέγχους, καὶ δεδειγμένοις τυχὸν διαπορεῖν ὁποίοις
the proofs and having-been-shown perhaps to-be-at-a-loss what
ἂν καὶ χρησαίμεθα λόγοις ὑπὸ δικασταῖς πολεμιωτάτοις,
— even we-could-use words under judges most-hostile
καὶ τῷ πραχθέντι λίαν ἀχθομένοις τῷ τῆς ἐλπίδος
and at-the deed very vexed by-the from-the hope

ἡμαρτηκέναι. Ῥωμαίου δὲ ἀνδρὸς διαιτῶντος, τίνος ἂν
to-have-failed Roman and man judging of-what —
χάριν ἡμῖν τὸ γεγενημένον ἀπαρνηθείη;
for-the-sake by-us the event would-be-denied
τί δὲ καὶ ἀπολογεῖσθαι χρεὼν παρ᾽ ὑμῖν αὐτοῖς, ἀνθ᾽ ὧν
why and even to-defend-ourselves needful before you selves for which
ὑμᾶς εὖ πεποιήκαμεν τὸν τύραννον ἀνελόντες; οὐδὲ γὰρ
you well we-have-done the tyrant having-killed nor for
μεταδοτέον αὐτῷ τοῦ σεμνοῦ τῆς βασιλείας ὀνόματος,
one-must-give-a-share him of-the majestic of-the kingship name
ἀλλοτριωτάτῳ διὰ τῶν ἔργων φανέντι· καίτοι μέγα
most-alien through the deeds having-appeared and-yet greatly
κεκράγασιν οἱ κατήγοροι, καὶ δεινὰ τετολμῆσθαί
have-cried the accusers and terrible(-things) to-have-been-dared
φασιν, ὡς δὴ βασιλέως ἀνῃρημένου· χρὴ δὲ οὐ
they-say as indeed king having-been-killed it-is-needful and not
τῇ πόρπῃ καὶ τῷ χλαμυδίῳ καὶ τοῖς ἐκτὸς φαινομένοις
to-the brooch and the cloak and the outside appearing
ἐγκαλλωπίσμασι ταύτην προσνέμειν τὴν ἐπωνυμίαν, ἀλλ᾽
ornaments this to-assign the title but
ἔνθα τὸ δίκαιον ἐνεργόν, καὶ τοῦ προσήκοντος μὴ
where the just effective and the fitting not
ὑπερφρονοίη τὸ ἐφιέμενον, καὶ μόνοις τοῖς καθεστῶσι
may-disdain the desiring(-part) and by-alone the established(-things)
τὸ φρόνημα τῆς ψυχῆς ἀναμετροῖτο. εἰ μὲν οὖν τοιοῦτον
the spirit of-the soul may-be-measured if indeed then such
ἀπεκτόναμεν ἄνδρα, παράνομα τετολμήκαμεν, ἔνδικος ἡ
we-have-killed man lawless(-things) we-have-dared just the
κατηγορία, εἰκότως βίαιοι καὶ ἀλαζόνες καὶ μιαιφόνοι
accusation reasonably violent and arrogant and bloodstained
παρὰ τῶν Κόλχων ὀνομαζόμεθα. εἰ δὲ τούτων μὲν ὡς
by the Colchians we-are-named if and from-these indeed as

πορρώτατω τοῖς τρόποις ἀπῴκιστο, μέτριον δὲ οὐδὲν ἦν
farthest in-the manners he-was-removed moderate and nothing was
αὐτῷ βεβουλευμένον, ἀλλ' ἢ τοὺς Πέρσας καθ' ἡμῶν
by-him planned but than the Persians against us
λαθραίως ἐπάγειν, καὶ καταπροέσθαι τὴν χώραν ἐκείνοις·
secretly to-bring-in and to-betray the land to-them
πῶς οὐ μᾶλλον ἐχρῆν φθάσαι τὸν τοῦ δεινοῦ καιρὸν
how not rather it-was-needful to-forestall the of-the terror moment
τῷ προτερήματι, ἤ, τὴν βασίλειον στολὴν αἰδεσθέντας,
by-the first-move than the royal robe having-revered
ὑπὸ τοῖς πολεμίοις γενέσθαι; τοῖς γὰρ κίνδυνόν τινα
under the enemies to-come for-the(-ones) for danger some
μελετώμενον ὑπό του προεγνωκόσιν, ἐνὸν μὲν
being-planned by someone having-foreknown it-being-possible indeed
ἐκκλῖναι τὸ παραυτίκα τὴν ἐπιβουλήν, καί, τὸ παρὸν
to-evade the immediate the plot and the present
ἀμωσγέπως παρακρουσαμένοις, σχολαίτερον ἐν ὑστέρῳ
somehow having-parried more-leisurely in later
τοῖς προσπεσοῦσιν ἁρμόσασθαι, πολλὴ ὠμότης
to-the(-things) befallen to-adapt much cruelty
προεπιφέρειν τὴν τιμωρίαν, καὶ μὴ μᾶλλον ἀρκεῖσθαι
to-inflict-beforehand the punishment and not rather to-be-content-with
τῇ τοῦ ἀντεπιβουλεύειν τυχὸν ἐξουσίᾳ. ἔνθα δέ, τῶν
the of-the to-counter-plot perhaps license where and the(-things)
βεβουλευμένων εἰς ἔργον ἀχθέντων, οὐδὲν ἔτι λείπεται
planned into deed having-been-brought nothing more is-left
πρὸς ἐπικουρίαν, ἀλλ' ἄρδην εὐθὺς ἅπαντα οἴχεται,
for help but utterly at-once all is-gone
συναφαιρουμένων τῇ κοινῇ σωτηρίᾳ καὶ αὐτῶν δήπου
being-taken-away-together with-the common safety also very surely
τῶν ὑπὲρ ταύτης ἐλπίδων, ἐνταῦθα τὸ τάχος αἱρετέον
the for it hopes there the speed one-must-choose

τοῖς ἔμφροσι, καὶ ὅπως μηδὲν ὁτιοῦν τῶν ἀνηκέστων
by-the sensible and how nothing whatever of-the incurable(-things)
πείσονται παρασκευαστέον.
they-will-suffer must-be-provided

XV · THE VERDICT AND THE MISIMIANS

The defense goes on: Gubazes stayed home from the campaign, sent word to the enemy, and the letter the accusers cite is no proof. Athanasius weighs the case and condemns both men, who are beheaded. The Roman armies winter in Lazica, and the Misimians, fearing punishment for Soterichus, appeal to Nachoragan. In spring the Roman generals march against them.

"Εἰ τοίνυν καὶ διαῤῥαγεῖεν οἱ κατήγοροι, μίασμα βοῶντες 8
if therefore even should-burst the accusers pollution shouting
καὶ ἄγος καὶ μιαιφονίαν, καὶ τοῖς τοιούτοις ὀνόμασιν
and curse and bloodshed and with-the such names
ἐκτραγῳδοῦντες τὸ γεγενημένον, καὶ πρὸς μόνον τὸ
making-a-tragedy-of the event and to only the
πραχθὲν ἀφορᾷν ἐκβιαζόμενοι· ἀλλὰ σὸν ἔργον, ὦ δικαστά,
deed to-look forcing but your task O judge
μνήμην ποιεῖσθαι τῶν προϋπαρξάντων, τὰς αἰτίας
memory to-make of-the(-things) prior the causes
ἀναθεωρεῖν δι' ὧν ἐπὶ τὴν πρᾶξιν ὡρμήθημεν, καὶ τῷ
to-review through which to the deed we-were-driven and by-the
εὐλόγῳ τοῦ ἐγχειρήματος τὸ εὔνουν διαγιγνώσκειν τῆς
μάλα διώκοντες, ἕως τοὺς πλείστους πολεμίους ἀπέκτειναν,
very pursuing until the most enemies they-killed
ὡς μόνους ἐκ τοσούτων ὀγδοήκοντα ἄνδρας ἐς τὸ
so-that only from so-many eighty men to the
Σιδηροῦν ἐκεῖνο φρούριον ἀποσωθῆναι. εἰ μὲν οὖν αὐτίκα
Iron that fortress to-get-safe if indeed then at-once
ὅπως εἶχον ὁρμῆς οἱ Ῥωμαῖοι ἐπῆλθον τῷ ἐρύματι,
as they-were of-impetus the Romans had-attacked the stronghold
καταπεπληγμένων τῶν βαρβάρων τοῖς ξυνενεχθεῖσιν,
dismayed the barbarians at-the events
πάντως ἄν, οἶμαι, αὐτοβοεί γε ἅπαντας εἷλον,
by-all-means — I-think at-the-first-shout at-least all they-would-have-taken

καὶ αὐθημερὸν ὁ πόλεμος ἐτελεύτα. νῦν δὲ τῷ μὴ
and the-same-day the war would-have-ended now and by-the not
παρεῖναι αὐτοῖς στρατηγὸν τῶν ὀνομαστοτάτων, δυνάμει
to-be-present to-them general of-the most-renowned in-power
τε καὶ φρονήματι προὔχοντα, ἴσους δὲ σχεδόν τι
both and in-spirit excelling equal and nearly somewhat
ἅπαντας καθεστάναι, ὡς καὶ ἀντεγκαλεῖν ἀλλήλοις
all to-be so-that even to-recriminate one-another
τυχὸν καὶ ἀντιπαρακελεύεσθαι, καὶ ὁποῖα ἄττα τις
perhaps and to-give-counter-orders and what things anyone
φήσειεν τοιάδε καὶ ἐπαΐειν, ἀτελῆ καὶ οὐ λίαν ἀξιέπαινα
might-say such(-things) also to-heed ineffective and not very praiseworthy
ὑπῆρχε τὰ ἐγχειρήματα. ἐς γὰρ διάφορόν τινα γνώμην
were the undertakings into for different some opinion
μεμερισμένοι, καὶ τοὺς μὲν τοῦτο, τοὺς δὲ ἄλλο
divided and the(-ones) indeed this the(-ones) and other
τι ἀρέσκον, ἐπράσσετο μὲν οὐδὲ ὁπότερον τῶν
something pleasing was-done indeed not-even either of-the(-things)
βεβουλευμένων· ἕκαστος δὲ χαλεπαίνων, ὅτι μὴ τὸ οἰκεῖον
planned each and being-angry that not the own
ἐνίκα, ἐκμελῶς πως καὶ ἀταλαιπώρως προσῄει τοῖς ἔργοις,
prevailed carelessly somehow and without-pains approached the works
καὶ μᾶλλον ἥδετο τοῖς ἀποτεύγμασιν, ὡς ἂν ἔχοι
and more rejoiced at-the failures so-that — he-might-be-able
μεγαλαυχεῖν ὕστερον καὶ παῤῥησιάζεσθαι πρὸς τοὺς
to-boast later and to-speak-freely to the
πέλας, καὶ τοῦ ἐνδεοῦς αἰτίαν οὐκ ἄλλο τι ἀποφαίνεσθαι,
neighbors and of-the failure cause not other any to-declare
ἢ τὸ μὴ τά οἱ δόξαντα διαπραχθῆναι.
than the not the(-things) to-him seeming-good to-have-been-done

17 Ἐν τούτοις δὴ οὖν ὄντες, πόῤῥω που τῶν πολεμίων
in these indeed then being far somewhere from-the enemies
ἢ ὡς ἐν πολιορκίᾳ ἐστρατοπεδεύσαντο· καὶ πρός γε
than as in siege they-encamped and besides at-least
οὐδὲ ἀμφὶ τὸ περίορθρον γοῦν ἰόντες τὰς προσβολὰς
not-even about the dawn at-any-rate going the attacks
ἐν δέοντι ἐποιοῦντο, ἀλλὰ ὄκνῳ εἴκοντες καὶ ῥᾳθυμίᾳ,
in need made but to-sloth yielding and indolence
ὁδοῦ πάρεργα ἡγοῦντο τὰ σπουδαῖα καὶ ἐπικαιρότατα,
of-road by-work held the serious(-things) and most-critical
κατόπιν μὲν τοῦ προσήκοντος καιροῦ ἐπιφοιτῶντες
behind indeed the fitting time coming-upon
τοῖς ἐναντίοις, πρωϊαίτερον δὲ ἐπανερχόμενοι. ταῦτα
the opponents rather-early and returning these(-things)
δὲ μαθὼν ὁ Μαρτῖνος ἐκπέμπει ὡς τάχιστα ἐπ᾽
and having-learned — Martinus sends-out as quickest to
αὐτοὺς ἄρξοντά τε ἁπάντων καὶ ἡγησόμενον, ἄνδρα
them going-to-command both all and going-to-lead (a)-man
Καππαδόκην μὲν τὸ γένος, ἀξιώματι δὲ στρατηγικῷ ἐκ
Cappadocian indeed the race with-rank and of-general from
πλείστου τετιμημένον, ᾧ δὴ ὄνομα ἦν Ἰωάννης, Δακνᾶν
longest honored whose indeed name was John Dacnas
δὲ αὐτὸν προσεπωνόμαζον, ἔσταλτο δὲ ἐς Κόλχους
and him they-surnamed he-had-been-sent and to Colchians
οὐ πολλῷ ἔμπροσθεν ἐκ βασιλέως, τὸ Ῥουστίκου ἔχων
not much before from (the)-emperor the of-Rusticus having
ἐπίταγμα, ἐφ᾽ ᾧ ἕκαστά τε τὰ ποιούμενα ἐς τὸ ἀκριβὲς
commission on which each-thing both the being-done to the exact
διαγγέλλειν, καὶ τῶν στρατιωτῶν τοὺς ἀριστεύοντας
to-report and of-the soldiers the(-ones) excelling
βασιλείοις δώροις φιλοφρονεῖσθαι. οὗτος δὴ οὖν ὁ
with-royal gifts to-reward this indeed then —

Ἰωάννης ἐς Μισιμιανοὺς ἀφιγμένος καὶ ἐπιστὰς
John to Misimians having-come and having-taken-command-of
τῷ τῶν Ῥωμαίων στρατεύματι, εὐθὺς ἀμφὶ τὸ φρούριον
the of-the Romans army at-once about the fortress
ἅπαντας ἵδρυσε καὶ πολιορκεῖν ἐπειρᾶτο, ἅμα δὲ καὶ
all stationed and to-besiege tried at-once and also
τοῖς ἔκτοσθεν διαιτωμένοις ἐπιθέσθαι, καὶ τὸ σύμπαν
the(-ones) outside living to-attack and the whole
διαταράξαι. τῶν γὰρ οἰκήσεων αἱ πλεῖσται οὐκ ἐν αὐτῷ
to-confound of-the for dwellings the most not in very
δήπου τῷ περιβόλῳ ἐτύγχανον οὖσαι, ἀλλ᾽ ἐπὶ σκοπέλῳ
surely the circuit-wall happened being but on crag
τινὶ ἀγχοῦ παρατεταμένῳ, φάραγγες δὲ ἐν αὐτῷ καὶ πέτραι
some near extended ravines and in it and rocks
ἀπερρωγυῖαι, ἐπιπλεῖστον διήκουσαι, δυσπρόσοδα λίαν
broken-off very-far stretching hard-to-approach very
καὶ ἄπορα τοῖς ὀθνείοις καὶ οὐκ εἰθισμένοις τὰ τῇδε
and impassable to-the foreign and not accustomed the(-things) here
ἅπαντα ἐκτελοῦσιν. τό γε μὴν ἐπιχώριον ἐμπειρίᾳ τῶν
all make the at-least truly native(-folk) by-experience of-the
τόπων ἔκ τινος στενωτάτης ὁδοῦ καὶ ὑπολανθανούσης,
places from some narrowest path and hidden
μόλις μὲν καὶ αὐτοὶ καὶ πεπονημένως καταφέρονται δὲ
scarcely indeed even themselves and laboriously come-down and
ὅμως, εἴπου δεήσοι, καὶ αὖθις ἀνέρπουσιν. ὑπὸ δὲ
nevertheless if-anywhere it-should-need and again creep-up under and
τὸν πρόποδα ἐν αὐτῷ δὴ τῷ χθαμαλῷ καὶ ἡπλωμένῳ
the foot in very indeed the low and flat
πίδακες ποτίμου ὕδατος ἀναβλύζουσιν, ὅθεν ὑδρεύονται
springs of-drinkable water gush-up whence draw-water
οἱ τῷ κολωνῷ ἐνοικοῦντες. τότε δὴ οὖν, (ἐπετήρουν
the(-ones) the hill inhabiting then indeed then watched

γὰρ οἱ Ῥωμαῖοι καὶ ἀπεῖργον τὸ μέρος,) νύκτωρ οἱ
for the Romans and kept-off the part by-night the
βάρβαροι κατιόντες ἠρύοντο. Ἴσαυρος δέ τις ἀνήρ,
barbarians coming-down drew-water Isaurian and some man
Ἰλλοῦς ὄνομα, ἐπὶ τῇδε τῇ φρουρᾷ τεταγμένος, ἐπειδὴ
Illus by-name over this the guard posted when
κατεῖδε πλείστους τῶν Μισιμιανῶν πόῤῥω που τῶν
he-saw most of-the Misimians far somewhere into-the
νυκτῶν ἐς τοῦτο καταβεβηκότας, ὁ δὲ ὑποκρυπτόμενος
nights for this having-come-down he and hiding
ἡσυχῇ ἔμενε καὶ ξυνεχώρει· ὡς δὲ ἐκεῖνοι τὰς κάλπεις
quietly waited and let-them-be when and they the jars
ἐμπλήσαντες ἀπεπορεύοντο, εἵπετο λάθρα ὁ Ἴσαυρος καὶ
having-filled went-off followed secretly the Isaurian and
συνανήει, ἕως ἐπ᾽ ἄκρου γενόμενος τήν τε τοῦ χωρίου
went-up-with until on top having-come the both of-the place
θέσιν, ὡς οἷόν τε ἦν ἐν σκότῳ, ἄριστα ἐπεφράσατο,
position as able — it-was in darkness best he-observed
καὶ ὅτι οὐ πλείους ἢ ὀκτὼ ἄνδρες ἐτετάχατο ἐς τὸ
and that not more than eight men had-been-posted for the
κατασκοπεῖν τὴν ἄνοδον καὶ διαφυλάττειν. ταῦτα τοίνυν
to-watch the ascent and to-guard these(-things) therefore
ἅπαντα καταγνούς, αὐτίκα ὑπαναχωρεῖ, καὶ τῷ στρατηγῷ
all having-noted at-once withdraws and to-the general
ἕκαστα διαγορεύει. ὁ δὲ ἥσθη τε ἄγαν τῷ ἀγγέλματι,
each-thing tells he and rejoiced both much at-the message
καὶ τῆς ἐπιούσης νυκτὸς ἄνδρας ἑκατὸν ἀπολεξάμενος
and the following night men hundred having-picked
ἀλκίμους τε καὶ θαῤῥαλέους, ἔστειλεν ἐπὶ τὴν ἔφοδον,
stout both and bold sent to the approach
κατασκοπήσοντάς τε τὸν χῶρον, καὶ ἐπιθησομένους
going-to-reconnoiter both the place and going-to-attack

ὅπῃ παρείκοι. εἴρητο δὲ αὐτοῖς, ἐπειδὰν βεβαιότατα
where it-might-allow it-had-been-told and to-them when most-securely
ἀναβαῖεν, τότε δὴ σημαίνειν τῇ σάλπιγγι, ὥστε καὶ
they-had-climbed then indeed to-signal with-the trumpet so-that also
τοῦ ἄλλου στρατοῦ τῷ τείχει προσβάλλοντος ἑκατέρωθεν
the other army the wall attacking on-each-side
τοὺς πολεμίους διακυκηθῆναι.
the enemies to-be-thrown-into-confusion

Ὁ μὲν οὖν Ἰλλοῦς προπορευόμενος ἡγεῖτο τῶν ἀνδρῶν ἐς 18
— indeed then Illus going-ahead led the men to
τὴν ἀνάβασιν, ὡς ἤδη αὐτῷ τῇ πείρᾳ καὶ διεγνωσμένην.
the ascent as already to-him by-the trial also discerned
εἵπετο δὲ εὐθὺς Ζίπερ ὁ Μαρκελλίνου δορυφόρος, καὶ μετ᾽
followed and at-once Ziper the of-Marcellinus guardsman and after
ἐκεῖνον Λεόντιος ὁ Δαβραγέζου, καὶ ἐπ᾽ αὐτῷ Θεόδωρος
him Leontius the of-Dabragezas and after him Theodore
ὁ τῶν Τζάννων ταξίαρχος· καὶ οὕτως ἑξῆς ἅπαντες οἱ
the of-the Tzani taxiarch and so in-order all the
ἄλλοι ἀνήγοντο στοιχηδὸν ἀλλήλοις παρομαρτοῦντες. ἤδη
others went-up in-file one-another accompanying already
δὲ αὐτῶν ὑπὲρ τὸ μεσαίτατον ἐληλυθότων, ἑώρων μάλα
and them beyond the very-middle having-come saw very
σαφῶς οἱ προτεταγμένοι τήν τε πυρὰν τῶν φρουρῶν
clearly the(-ones) in-front the both fire of-the guards
ἀναπτομένην, καὶ αὐτοὺς ὡς πλησιαίτατα κατακεκλιμένους·
kindled and them as nearest lying-down
καὶ οἱ μὲν ἑπτὰ περιφανῶς ἐκάθευδον, καὶ ὑπορέγχοντες
and the indeed seven plainly slept and snoring
ἔκειντο. εἷς δέ γε μόνος ἐπ᾽ ἀγκῶνος ἐρηρεισμένος,
lay one and at-least alone on elbow propped
ὥσπερ ἐγρηγορὼς διετέλει. ξυνείχετο γὰρ καὶ ὃς τῷ
as awake continued was-held for also he by-the

ὕπνῳ καὶ ἐκαρηβάρει· καὶ οὔπω δῆλος ἦν ὅποι χωρήσει,
sleep and was-heavy-headed and not-yet clear was which-way he-will-go
ἐπινυστάζων θαμὰ καὶ ἀναπαλλόμενος. ἐν τούτῳ δὲ
nodding often and starting-up in this and
Λεόντιος ὁ Δαβραγέζου ὑπὲρ τέλματός τινος ὀλισθήσας
Leontius the of-Dabragezas on mud some having-slipped
καταπίπτει ἀθρόον καὶ ὑποφέρεται, καὶ περιῤῥήγνυσι
falls-down suddenly and is-carried-down and smashes
τὴν ἀσπίδα. πατάγου δὲ ὥσπερ εἰκὸς μεγάλου ἀρθέντος,
the shield clatter and as likely great having-risen
ἀνέθορον ἅπαντες οἱ φρουροὶ διεπτοημένοι καὶ ὑπὲρ τῆς
leapt-up all the guards terrified and on the
εὐνῆς ἥμενοι, τά τε ξίφη ἐσπάσαντο, καὶ κατεσκόπουν
bed sitting the both swords drew and looked-about
ἁπανταχοῦ τοὺς αὐχένας περιδινοῦντες· συμβάλλειν δὲ
everywhere the necks whirling-round to-guess and
οὐκ εἶχον, ὅτι ποτέ ἐστι τὸ γεγενημένον· τῷ τε
not they-could what ever is the event by-the both
γὰρ πυρὶ καταυγαζόμενοι, τοὺς ἐν τῷ σκότῳ ἑστῶτας
for fire being-dazzled the(-ones) in the darkness standing
διορᾶν οὐκ ἠδύναντο, καὶ ὁ κτύπος αὐτοῖς καθεύδουσι
to-see-through not they-could and the din to-them sleeping
προσπεσών, οὐ μάλα ἐναργὴς ἦν, οὐδὲ ἀποκεκριμένος, οὐδὲ
having-reached not very clear was nor distinct nor
ὁποῖος ὅπλα παραδηλῶσαι κατενεχθέντα· οἱ δὲ Ῥωμαῖοι
such-as arms to-indicate having-fallen the and Romans
ἐς τὸ ἀκριβὲς ἕκαστα κατεθεῶντο. τοιγάρτοι τὸ βάδισμα
to the exact each-thing observed therefore the marching
ἐπισχόντες, ἀτρέμα ἔμενον, ὥσπερ τῇ γῇ ἐνερῥιζωμένοι,
having-checked motionless stayed as in-the earth rooted
καὶ οὔτε φωνῆς ἦχος ἐψιθυρίζετο, οὔτε τοὺς πόδας
and neither of-voice sound was-whispered nor the feet

μετρίως γοῦν μετεκίνουν, ἀλλ᾽ οὕτως ὥσπερ εἶχον
moderately at-any-rate moved but so as they-were
προσεπεπήγεσαν, εἴτε πέτρᾳ ὀξείᾳ τυχόν, εἴτε θάμνῳ
stuck-fast whether on-rock sharp perhaps or on-bush
τινὶ ἐτύγχανον ἐπιβεβηκότες. εἰ γὰρ μὴ οὕτως ἐποίουν,
some they-happened having-stepped if for not so they-did
καί τις ξυναίσθησις τοῦ δρωμένου τοῖς φύλαξιν
and some perception of-the(-thing) being-done to-the guards
ἐγεγόνει, πάντως ἂν πέτραν τινὰ μεγάλην ἐπαφιέντες
had-come by-all-means — rock some great letting-loose
κατὰ τοῦ πρανοῦς ἐξεκύλιον, ὡς ἅπαντας ἐπιτρίψαι
down the slope they-would-have-rolled so-as all to-crush
τοὺς ἐπερχομένους. τῷ τοι ἄρα ἐκεῖνοι ἄναυδοί
the(-ones) coming-up for-that surely then they speechless
τε εἱστήκεσαν καὶ ἀδόνητοι, καὶ αὐτὴν δὴ τὴν τοῦ
both stood and unshaken and very indeed the of-the
πνεύματος φορὰν ξυστέλλοντες ἠρέμα καὶ ταμιευόμενοι.
breath course checking gently and husbanding
καὶ ἄγαμαί γε αὐτοὺς ἔγωγε τῆς εὐκοσμίας, ὅτι δὴ
and I-admire at-least them I for-the discipline that indeed
ἅπαντες ἅμα ὥσπερ ἐκ συνθήματος ἐν ἀκαρεῖ χρόνου
all at-once as from signal in instant of-time
τοῦ συνοίσοντος ἐστοχασμένοι, ἐνεκαρτέρουν τῇ τάξει,
the advantageous having-aimed-at persevered in-the formation
καὶ διενοοῦντο ἐν ἑαυτοῖς ὁπόσα φθέγγεσθαι ὁ καιρὸς
and thought within themselves as-much-as to-speak the moment
οὐκ ἐδίδου. οἱ δὲ βάρβαροι, ἐπειδὴ αὐτοῖς μηδὲν ὁτιοῦν
not allowed the and barbarians when to-them nothing whatever
δεινὸν ὑπεφαίνετο, πάλιν εἰς τὸ προσφιλὲς ἐτράποντο,
terrible appeared again to the beloved(-sleep) turned
ἀσμενέστατα καταδαρθέντες.
most-gladly having-fallen-asleep

19 Τότε δὴ οὖν οἱ Ῥωμαῖοι οὕτω δή τι αὐτοῖς
then indeed then the Romans so indeed somewhat on-them
ἀνειμένως ἀναπαυομένοις ἐπιβάντες, ἀπέκτειναν τούς τε
slackly resting having-come-upon killed the both
ἄλλους, καὶ πρός γε ἐκεῖνον τὸν ἡμιάγρυπνον, ὡς ἄν
others and besides at-least that the half-awake as —
τις αὐτὸν ἐπιτωθάζων ἐπικαλέσοι. καὶ τολοιπὸν ἀδεῶς
anyone him mocking might-call and the-rest fearlessly
ἀνὰ τὰ πρόσω χωρήσαντες, ἀμφὶ τὰς λαύρας τῶν
through the forward having-gone about the lanes of-the
οἰκήσεων ἐσκεδάννυντο· καὶ ἅμα ἡ σάλπιγξ ἐπῇδε τὸ
dwellings scattered and at-once the trumpet sounded the
ἐνυάλιον. ἀκούσαντες δὲ οἱ Μισιμιανοὶ κατεπλήττοντο
war-call having-heard and the Misimians were-dismayed
μὲν τῷ παραλόγῳ· τὰ δὲ παρόντα οὐ ξυνιέντες, ὅμως
indeed at-the unexpected the and present(-things) not understanding nevertheless
ἀνεγρόμενοι ἐπ᾽ ἀλλήλους φοιτᾷν ἵεντο καὶ ξυναθροίζεσθαι,
having-awoken to one-another to-go hastened and to-gather
ἄλλος ἄλλοθεν διεκπηδῶντες. ἀλλ᾽ οἱ Ῥωμαῖοι ἐν αὐτοῖς
one from-elsewhere leaping-out but the Romans at very
δὴ τοῖς προθύροις ὑπαντιάζοντες, καὶ ὥσπερ τοῖς
indeed the doorways meeting and as with-the
ξίφεσιν αὐτοὺς δεξιούμενοι, πλεῖστον ὅσον εἰργάζοντο
swords them greeting most as wrought
φόνον. οἱ μὲν γὰρ ἤδη ἐκβάντες εὐθὺς ἀνῄρηντο,
slaughter some indeed for already having-come-out at-once had-been-killed
ἕτεροι δὲ παρῆσαν, καὶ ἄλλοι ἤμελλον, καὶ λώφησις οὐκ
others and were-coming and others were-about-to and respite not
ἦν τοῦ κακοῦ, ἁπάντων ἐπειγομένων. ἤδη δὲ καὶ γύναια
was from-the evil all hastening already and also women
πολλὰ διαναστάντα θύραζε ξυνέῤῥει ὀλοφυρόμενα· ἀτὰρ
many having-risen out-of-doors streamed lamenting but

οὐδὲ τούτων ἀπείχοντο οἱ Ῥωμαῖοι, ὀργῇ φερόμενοι,
not-even from-these held-off the Romans by-anger carried
ἀλλ᾽ ὠμότατα καὶ αὗται κτεινόμεναι, ἀπήλαυον τῆς τῶν
but most-cruelly also these being-killed reaped the of-the
ἀῤῥένων ἀτασθαλίας. μία δέ τις τῶν κομψοτέρων δᾳδα
males recklessness one and some of-the more-elegant torch
κατέχουσα καιομένην, ἐμφανέστατα ἐπορεύετο· καὶ ἡ μὲν
holding burning most-conspicuously walked and she indeed
δορατίῳ τὴν γαστέρα διατορηθεῖσα, οἰκτρότατα ἐτεθνήκει,
by-spear the belly pierced most-piteously had-died
τῶν δέ τις Ῥωμαίων ἀνελόμενος τὸ λαμπάδιον ἐμβάλλει
of-the and one Romans having-picked-up the torch throws
πῦρ τοῖς περιαυλίσμασι. τὰ δέ, (ξύλοις γὰρ καὶ φορυτῷ
fire into-the huts they and of-timbers for and rubbish
ἐτύγχανον ἐσκευασμένα,) τάχιστα ἐνεπίμπρατο· ἥ τε
happened made most-quickly were-set-ablaze the and
φλὸξ ἐς τοσοῦτον μεγέθους ἐξήρθη, ὡς καὶ τῷ Ἀψιλίων
flame to so-much of-height rose that even to-the of-Apsilians
ἔθνει καὶ τοῖς πορῤῥωτέρω ἔτι τὰ ποιούμενα
nation and to-the(-ones) farther still the(-things) being-done
διαγγέλλειν. τότε δὴ οὖν καὶ μᾶλλον οἱ βάρβαροι χύδην
to-announce then indeed then even more the barbarians pell-mell
ἀπώλλυντο. οἱ μὲν γὰρ οἴκοι μεμενηκότες ἐπυρπολοῦντο
perished some indeed for at-home having-remained were-burned
ἢ κατεχώννυντο· τοῖς δὲ πρὸς τὰ ἐκτὸς διεκπίπτουσιν
or were-buried for-the(-ones) and to the outside escaping
ἑτοιμότερος ὁ ἐκ τῶν ξιφῶν ὄλεθρος ἐφειστήκει. παῖδες
readier the from the swords death stood-by children
δὲ πολλοὶ κλαυθμυριζόμενοί τε καὶ τὰς τεκούσας
and many whimpering both and the mothers
ἀναβοῶντες, ἡλίσκοντο· καὶ τούτων τοὺς μὲν κατὰ τῶν
crying-for were-caught and of-these some indeed down the

πετρῶν ἀφειδῶς ἀκοντίζοντες, διεσπάραττον· ἔνιοι δὲ
rocks unsparingly hurling they-dashed-to-pieces some and
ὥσπερ ἐν παιδιᾷ ἐς ὕψος ἀνερρίπτοντο, καὶ εἶτα τῷ
as in play to height were-tossed-up and then by-the
ἄχθει ἀντιφερόμενοι, ὀρθίοις τοῖς δόρασιν ὑποδεχθέντες,
weight coming-down upright on-the spears having-been-caught
ἐν τῷ μετεώρῳ διεπερονῶντο. καὶ ἦν μὲν οὐ πόρρω
in the air were-pierced-through and it-was indeed not far-from
τῶν εἰκότων χαλεπαίνειν σφόδρα τοὺς Ῥωμαίους τῷ
the(-things) reasonable to-be-angry greatly the Romans with-the
τῶν Μισιμιανῶν γένει, τοῦ τε Σωτηρίχου ἕκατι, καὶ
of-the Misimians race — both of-Soterichus for-the-sake and
τῆς ἐπὶ τοῖς πρέσβεσι παρανομίας. ἔδει δὲ ὅμως
the against the envoys lawlessness it-was-needful and nevertheless
οὐχ ὅσον καὶ ἐς αὐτὰ δὴ τὰ νεογνὰ βρέφη, καὶ
not so-far-as even to very indeed the newborn babes and
τῶν τοῖς γονεῦσι τετολμημένων οὐδὲν ἐπιστάμενα,
of-the(-things) by-the parents dared nothing knowing
παροινεῖν οὕτω καὶ ἀφυβρίζειν. οὔκουν αὐτοῖς οὐδὲ
to-run-riot so and to-commit-outrage not-therefore by-them nor
ἀποινὶ τοῦτο ἡμάρτηται.
unpunished this has-been-committed

20 Τῆς γὰρ νυκτὸς ἁπάσης ἐν τοιοῖσδε κακοῖς διανυσθείσης,
the for night all in such evils having-been-passed
ἤδη τε δόξαντος τοῦ χωρίου ἐκπεπορθῆσθαι, τότε δὴ
already and seeming the place to-have-been-sacked then indeed
ἄνδρες τῶν Μισιμιανῶν ἐς πεντακοσίους εὖ μάλα
men of-the Misimians up-to five-hundred well very
τεθωρακισμένοι, τοῦ φρουρίου ἐκβάντες, ἐς αὐτὸ
corseleted from-the fortress having-come-out at very
δὴ τὸ λυκαυγὲς ἐπέρχονται τοῖς Ῥωμαίοις ἀφυλάκτως
indeed the twilight attack the Romans unguardedly

διακειμένοις, διὰ τὸ οἴεσθαι τελεώτατα κεκρατηκέναι.
disposed because-of the to-think most-completely to-have-prevailed
καὶ πλήττουσι μὲν τοὺς πλείστους, ἅπαντας δὲ ἐς
and strike indeed the most all and to
φυγὴν ἐτρέψαντο, βιαιότερον ἐξωθοῦντες. οἱ δὲ ξὺν
flight turned more-violently thrusting-out they and with
ταραχῇ ἐπὶ τὸ κάταντες ὑπαγόμενοι, συχνῶν τε καὶ
confusion to the downhill withdrawing of-many both and
ποικίλων τραυμάτων ἀνάπλεοι ἐς τὸ στρατόπεδον
various wounds full to the camp
ἐπανῆλθον, τοῖς τε ἀκοντίοις τῶν πολεμίων βληθέντες,
returned by-the both javelins of-the enemies having-been-hit
καὶ τῷ περιπταίειν θαμὰ ταῖς πέτραις διακεχαραγμένοι
and by-the to-stumble often on-the rocks gashed
τὰ σκέλη· καὶ ἐπ᾽ ἐκεῖνον μὲν αὖθις τὸν σκόπελον
the legs and onto that indeed again the crag
ἀνέρπειν ἥκιστα διενοοῦντο, τῷ δὲ περιβόλῳ ἐπιφέρεσθαι
to-creep-up least intended the and circuit-wall to-attack
ᾗ μᾶλλον ἐπίμαχος εἶναι ἐδόκει, καὶ ἅμα τὴν
where more assailable to-be it-seemed and at-once the
τάφρον καταχωννύναι. καὶ τοίνυν οἰκίσκους τινὰς καὶ
ditch to-fill-up and therefore small-houses some and
καλύβας πλησιαίτερον τεκτηνάμενοι ἐκ τοῦ ἀσφαλοῦς
huts nearer having-built from the safety
ἐτειχομάχουν, μηχαναῖς τε χρώμενοι καὶ τοξείᾳ, καὶ
they-fought-the-walls engines both using and archery and
ἄλλῳ ὁτῳοῦν τρόπῳ χαλεπωτάτην τοῖς ἔνδον καὶ
other any way hardest for-the(-ones) within and
ἀνύποιστον ποιούμενοι τὴν πολιορκίαν. οἱ δὲ βάρβαροι
unbearable making the siege the and barbarians
ἐμόχθουν μὲν σφόδρα καὶ ἐπιέζοντο, πλὴν ἀλλ᾽ οὔπω
toiled indeed greatly and were-pressed except but not-yet

ἀνίεσαν ἀμυνόμενοι. ἤδη γάρ τινες σπαλίωνα κομίζοντες,
let-up defending already for some spalion carrying
ἐπ᾽ ἐκεῖνα δὴ τὰ τῶν Ῥωμαίων ἕρκη ἐχώρουν ὡς
to those indeed the of-the Romans fences went as
ἅπαντα καταβαλοῦντες. πρὶν δὲ δὴ πελάζειν αὐτοὺς
all going-to-throw-down before and indeed to-approach them
καὶ ὑποκρύπτεσθαι, Σουαρούνας τις ὄνομα, Σκλάβος
and to-take-cover Suarunas some by-name Slav
ἀνήρ, ἀφίησι δόρυ τῷ μᾶλλον προφαινομένῳ, καὶ
man lets-fly spear at-the(-one) more showing-in-front and
πλήττει καιρίαν. πεσόντος δὲ ἐκείνου αὐτίκα ἐξετινάχθη
strikes mortally having-fallen and him at-once was-shaken-off
ὁ σπαλίων, καὶ ἠρήριπτο ἀνατετραμμένος, καί πως
the spalion and had-fallen overturned and somehow
ἐς τἀναντία τοῦ κύτους περιηγμένου, ἀνεκαλύπτοντο οἱ
to the-contrary the hull having-turned were-uncovered the
ἄνδρες καὶ ἀπεγυμνοῦντο. καὶ τοὺς μὲν ἄλλους ῥᾳδίως οἱ
men and were-stripped-bare and the indeed others easily the
Ῥωμαῖοι κατακοντίζοντες ἔκτειναν, εἷς δέ γε ἀποδρὰς
Romans shooting-down killed one and at-least having-escaped
ᾤχετο· καὶ ἤδη ἀγχοῦ ἐγεγόνει, καὶ δὴ ἐπέβαινε
went and already near had-come and indeed was-stepping-on
τῆς πυλίδος. ἀλλὰ τότε ἀθρόον τοξευθεὶς διαφθείρεται.
the postern but then suddenly having-been-shot perishes
καὶ αὐτοῦ καταπεσών, ὑπὲρ τὸν οὐδὸν ἔκειτο, ὀλίγον
and there having-fallen over the threshold lay little
μέν τι τοῦ σώματος μεθείς, τῷ δὲ πλείονι μέρει
indeed some of-the body having-let-out with-the and greater part
πρὸς τὰ ἔνδον παρατεταμένος. τοῦτο δὲ ἰδόντες οἱ
toward the inside stretched this and having-seen the
Μισιμιανοί, καὶ σημεῖόν τι, οἶμαι, τῶν ἐσομένων πέρι
Misimians and sign some I-think the coming(-things) about

φευκτόν τε καὶ ἀπαίσιον ἡγησάμενοι, ἄλλως τε καὶ
to-be-shunned both and ill-omened having-thought especially — also
ἀπειρηκότες τοῖς πόνοις, καὶ τῆς πρὸς Ῥωμαίους
having-tired by-the toils and from-the toward Romans
δυσμενείας ἀπαλλαξείοντες, μάλιστα ὅτι αὐτοῖς οὐδὲ
hostility wishing-to-be-rid most because to-them not-even
ἡ ἀπὸ τῶν Περσῶν κατὰ τὸ ξυγκείμενον ἀφῖκτο
the from the Persians according-to the agreement had-come
ἐπικουρία· ταῦτα δὴ οὖν ἀναλογισάμενοι, καὶ τὴν
help these(-things) indeed then having-reckoned and the
οἰκείαν ἀναμετρήσαντες δύναμιν, καὶ ὅτι οὐκ ἀξιόμαχοι
own having-measured power and that not a-match
ἔσονται οὐδὲ περαιτέρω τὸν πόλεμον ὑπομενοῦσι μόλις ἐν
they-will-be nor further the war they-will-endure scarcely in
τῷ τότε γοῦν ἀναμνησθέντες, εὐθὺς ἐπρεσβεύοντο πρὸς
the then at-any-rate having-remembered at-once sent-envoys to
Ἰωάννην, καὶ ἱκέτευον, μὴ σφᾶς πανωλεθρίᾳ διαφθεῖραι,
John and begged not them with-utter-ruin to-destroy
μηδὲ ἀνάρπαστον ἄρδην ποιήσασθαι γένος ἐκ παλαιοῦ
nor carried-off utterly to-make race from of-old
κατήκοον καὶ ὁμόδοξον τὰ ἐς τὸ θεῖον καὶ πλεῖστα
subject and like-minded the(-things) toward the divine and most
ὅσα προηδικημένον, οὕτω τε ἐληλυθὸς ἐς τὸ ἀντιδρᾶσαι,
as having-been-wronged-first so and having-come to the to-retaliate
βαρβάρῳ καὶ τοῦτο ἀνοίᾳ· οὐ μὴν παντάπασί γε
with-barbarian and this folly not truly altogether at-least
φειδοῦς καὶ συγγνώμης ἀνάξιοι ἔφασκον εἶναι, τοσαῦτα
of-mercy and of-pardon unworthy they-said to-be so-many
ἤδη δεινὰ πεπονθότες, καὶ μεγίστας ποινὰς ἀναπλήσαντες,
already terrors having-suffered and greatest penalties having-paid
καταφλεχθείσης μὲν αὐτοῖς τῆς τοῦ φρουρίου περιοικίδος,
having-been-burned indeed for-them the of-the fortress neighborhood

ἀνδρῶν δὲ ἡβώντων οὐ μεῖον ἢ πεντακισχιλίων
men and grown not less than five-thousand
ἀπολωλότων, γυναικῶν δὲ πολλῷ πλειόνων, καὶ παίδων
having-perished women and much more and children
ἔτι πλειόνων, ὡς ὀλίγου γε δεῖν ἅπαν διαῤῥυῆναι
still more so-that of-little at-least to-lack all to-have-melted-away
τὸ φῦλον. ὁ δὲ Ἰωάννης ἀσμενέστατα προσήκατο τὴν
the tribe — and John most-gladly accepted the
ἱκετείαν, τοῦ τε μὴ ἐπὶ πλεῖστον ἐν χωρίῳ ἐρήμῳ καὶ
supplication the both not for longest in place desolate and
δυσχειμέρῳ ἅμα τῇ στρατιᾷ διακινδυνεύειν, καὶ ὅτι
wintry with the army to-run-risks and because
ἀποχρώντως ὡς ἀληθῶς οἱ ἡμαρτηκότες ἐτετιμώρηντο.
sufficiently as truly the(-ones) having-erred had-been-punished
τοιγάρτοι ὁμήρους λαβών, καὶ τὰ χρήματα ὁπόσα ὁ
therefore hostages having-taken and the money as-much-as —
Σωτήριχος ἐπεφέρετο, τά τε ἄλλα καὶ πρός γε τὸ ἐκ
Soterichus carried the both other and besides at-least the from
βασιλέως χρυσίον· ἦν δὲ ἐν νομίσμασιν ἐντελέσι τε καὶ
(the)-emperor gold it-was and in coins full-weight both and
ἀκιβδήλοις δισμυρίοις τε καὶ ὀκτακισχιλίοις πρὸς ἑτέροις
unalloyed twenty-thousand both and eight-thousand besides other
ὀκτακοσίοις· ταῦτα δὴ οὖν ἀπειληφὼς καὶ λείαν
eight-hundred these(-things) indeed then having-received and booty
πολλὴν περιβαλόμενος, ἐφῆκε μὲν αὐτοῖς ἀδεῶς αὖθις
much having-got allowed indeed them fearlessly again
τὰ σφέτερα νέμεσθαι, καὶ τὸν πρότερον ἀνανεώσασθαι
the their-own to-occupy and the former to-renew
βίον. αὐτὸς δὲ ἐπὶ τὴν Κολχίδα γῆν ἐπανῆκεν, κλεινὸν
life himself and to the Colchian land returned famous

ἅμα καὶ ἀγέρωχον, καὶ μόνοις τριάκοντα ἀνδράσιν
at-once and proud and by-only thirty men
ἐζημιωμένον ἀποκομίσας τὸ στράτευμα.
having-been-diminished having-brought-back the army

XVII · JUSTINUS IN COMMAND AND THE SASANIAN KINGS

Justinian removes Martinus and gives Justinus, son of Germanus, the command in Lazica and Armenia. Justinus lets John the Libyan extort the villages, and Agathias foreshadows his fall. Lazica goes quiet, and Chosroes flays Nachoragan for his defeat. Agathias then fulfills a promise and lists the Persian kings from Artaxares to Isdigerdes: their reigns, their wars with Rome, and the surrender of Nisibis under Jovian.

Μετὰ δὲ ταῦτα βασιλεὺς Ἰουστινιανός, καθελὼν 21
after and these(-things) emperor Justinian having-removed
παντάπασι τῆς ἀρχῆς τὸν Μαρτῖνον, ὁ δὲ Ἰουστῖνον τὸν
altogether from-the command — Martinus he and Justinus the
Γερμανοῦ καθίστησιν ἀντ᾽ αὐτοῦ στρατηγὸν αὐτοκράτορα
of-Germanus appoints instead-of him general autocrat
τῶν τε κατὰ τὴν Κολχίδα χώραν καὶ τῶν ἐν Ἀρμενίᾳ
of-the both in the Colchian land and of-the in Armenia
ταγμάτων. ἦν μὲν γὰρ αὐτῷ καὶ πρότερον οὐ μάλα
units it-was indeed for to-him also before not very
πρὸς θυμοῦ πρωτεύειν ἐκεῖνον ἁπάντων καὶ ἐξηγεῖσθαι,
to liking to-be-first him of-all and to-lead
ὡς δὴ τῆς κατὰ Γουβάζου ἐπιβουλῆς οὐκ ἐλάχιστον
as indeed of-the against Gubazes plot not least
μέρος γεγενημένον. κατεῖχε δὲ τέως τὴν γνώμην καὶ
part having-been he-held-back and till-then the opinion and
ὑπελάνθανε, μὴ χρῆναι οἰόμενος ἀνακινῆσαι τὸ ἄρχον καὶ
concealed not to-be-needful thinking to-disturb the command and

μετασκευάσασθαι ταραττομένων ἔτι τῶν τῇδε πραγμάτων,
to-change being-disturbed still the here affairs
καὶ μάλιστα τῆς στρατιᾶς ἡδομένων τῷ Μαρτίνῳ, διά
and most the army delighting — in-Martinus because-of
τε τὴν τῶν πολεμικῶν ἔργων ἐμπειρίαν καὶ τὸ ἕκαστα ἐν
both the of-the warlike deeds experience and the each-thing in
δέοντι διατάττειν. οὗ δὴ ἕνεκα, οἶμαι, καὶ διεσέσωστο,
need to-arrange which indeed for-the-sake I-think also he-had-been-saved
ἐπεὶ ἂν καὶ αὐτὸς Ἰωάννῃ τε καὶ Ῥουστίκῳ ξυντεθνήκει·
since — also himself with-John both and Rusticus would-have-died-with
νῦν δὲ ὥσπερ αἰδοῖ τῶν τροπαίων καὶ τῆς εὐβουλίας
now and as-if from-respect of-the trophies and of-the good-counsel
ᾗ δὴ παρὰ τοὺς κινδύνους ἐχρῆτο, ὑφελὼν ἠρέμα καὶ
which indeed in the dangers he-used having-abated gently and
ὑποχαλάσας τοῦ νόμου τὸ λίαν ἀκριβὲς καὶ ἀτιθάσευτον,
having-relaxed of-the law the very strict and untamed
ἐφῆκε μὲν τὸ ἐπίκλημα, ἄρχειν δὲ οὐ ξυνεχώρει ἀλλὰ
he-remitted indeed the charge to-command and not allowed but
ἰδιωτεύειν ἐκέλευεν, ἀρκεῖν ἡγούμενος ἀτιμίᾳ γε αὐτὸν
to-live-privately bade to-suffice thinking with-dishonor at-least him
τιμωρήσασθαι, εἰ καὶ τοσούτου μιάσματος μετειλήχει.
to-punish if even in-so-great pollution he-had-shared
ἐπειδὴ οὖν οἵ τε Πέρσαι ἠρέμουν, καὶ ἐκεχειρίᾳ ἐῴκει
since then the both Persians were-quiet and to-truce was-like
τὸ χρῆμα, τότε δὴ τὸν μὲν ἀπεώσατο, Ἰουστῖνον δὲ
the thing then indeed the(-one) indeed he-thrust-aside Justinus and
προσήκοντά τέ οἱ ὡς ἐγγύτατα κατὰ γένος, καὶ ἄλλως
related both to-him as nearest by kin and otherwise
ὀνομαστότατον ἐν τῷ τότε εἶναι δοκοῦντα, μετάκλητον
most-renowned in the then to-be seeming summoned
ἐν Βυζαντίῳ ποιησάμενος, ἅπασάν τε αὐτῷ παραδίδωσι
in Byzantium having-made all and to-him hands-over

τὴν ἀρχήν, καὶ αὖθις ἐς Κόλχους ἐκπέμπει τοῖς ἐφεξῆς
the command and again to Colchians sends-out to-the next(-things)
ἁρμοσόμενον. ἦν δέ τις ἐν τῷ ἀμφ᾽ αὐτὸν ὁμίλῳ
going-to-adapt was and some in the about him throng
Ἰωάννης ὄνομα, Λίβυς ἀνήρ, ἀφανὴς μὲν τὰ πρῶτα καὶ
John by-name Libyan man obscure indeed the first and
πενιχρότατος, ὡς καὶ τοῦ ἀποζῆν ἕνεκα μισθαρνεῖν
poorest so-that even of-the to-live for-the-sake to-serve-for-pay
ἑτέρῳ τῳ καὶ ξυνέπεσθαι τῶν δορυφόρων καὶ τὰς τῶν
for-another any and to-follow of-the guards and the of-the
θεραπόντων στέγειν ὀδύνας, οὐ πολλῷ δὲ ὕστερον ἐπὶ
servants to-bear pains not much and later to
μέγα πλούτου τε καὶ ἀλαζονείας ἠρμένος. πλεῖστα γὰρ
great of-wealth both and of-arrogance raised most for
ὅσα μηχανησάμενος, καὶ διὰ ποικίλης χωρήσας ἐννοίας,
as having-contrived and through manifold having-gone design
γνωρίζεται οὐκ ἐς μακρὰν τῷ Ἰουστίνῳ, κάκιστος δὲ ὢν
becomes-known not to long — to-Justinus worst and being
καὶ πανουργότατος, καὶ οἷος οὐδὲν ὁτιοῦν τῶν ἀδίκων τε
and most-unscrupulous and such-as nothing whatever of-the unjust both
καὶ ἀνοσίων ἐγχειρημάτων κέρδους ἕκατι ἀπαναίνεσθαι,
and unholy undertakings gain for-the-sake to-refuse
ῥητόν τι μέτρον χρυσοῦ αἰτεῖ τὸν στρατηγόν, ὁμολογῶν,
stated some measure of-gold asks the general promising
εἰ κομίσοιτο, αὐτῷ τε τῷ παρασχόντι ἐς ὅσον ἂν
if he-should-receive to-him both the having-provided to as-much —
ἕλοιτο χρόνον τὰ ἐπιτήδεια προσφόρως ἐκποριεῖσθαι,
he-might-choose time the provisions suitably to-procure
καὶ πρός γε ὁπόσον παρῆν θητικόν τε καὶ δοῦλον,
and besides at-least as-much-as was-present hired both and slave
καὶ ὅσοι ἄλλοι ὀπαδοί τε καὶ ὑπηρέται καὶ δορυφόροι,
and as-many-as other attendants both and servants and guards

ἀλλὰ καὶ τούσδε ἅπαντας τῆς προσηκούσης τροφῆς
but also these all with-the fitting food
ἐμπιπλάναι. ταῦτα δὲ πράττων ἐπηγγέλλετο οὐ μόνον
to-fill these(-things) and doing he-promised not only
ἀποσώσειν τὸ χρυσίον ἅπαν καὶ ἀντικαθεῖναι ὁπόσον ἂν
to-restore the gold all and to-repay as-much-as —
λάβοι, ἐντελὲς καὶ ἀλώβητον, ὥσπερ ἐκδεδανεισμένον,
he-might-receive full and unimpaired as-if lent-out
ἀλλὰ γὰρ καὶ ἕτερον προσεπιδοῦναι. καὶ ἐδόκει μὲν τοῖς
but for also other to-give-in-addition and seemed indeed to-the
πολλοῖς κόμπος εἶναι καὶ οἷον αἴνιγμα τὸ εἰρημένον·
many boast to-be and as-it-were riddle the said(-thing)
ὁ δὲ Ἰουστῖνος, καίτοι δέον αὐτὸν νεμεσῆσαι τῇ
— and Justinus although it-being-needful him to-be-indignant at-the
τοῦ Λίβυος ἀβελτηρίᾳ, ἐπιστάμενον ὡς οὐκ ἂν τὴν
of-the Libyan stupidity knowing that not — the
ὑπόσχεσιν διανύσειεν μὴ ἄδικα δρῶν καὶ βίαια ἔργα,
promise he-could-fulfill not unjust doing and violent deeds
καὶ παρανόμοις τισὶν ἐμπορίαις λυμαινόμενος ἅπαντας,
and by-lawless some tradings harming all
οἷς ἂν ὁμιλήσειεν· ὁ δὲ προσήκατό τε τοὺς λόγους,
with-whom — he-might-deal he and accepted both the words
καὶ τὸ χρυσίον παραδοὺς ἐπὶ ταῖς ξυνθήκαις ἐφίησιν
and the gold having-handed-over on the terms allows
αὐτῷ πράττειν ὅ, τι καὶ βούλοιτο.
him to-do what ever even he-might-wish

22 Τότε δὴ οὖν ὁ Ἰωάννης ταῖς Ῥωμαϊκαῖς κώμαις
then indeed then — John the Roman villages
ἐπιφοιτῶν, ὁπόσαι ἀνὰ τὴν πορείαν ἐτύγχανον ἱδρυμέναι,
visiting as-many-as along the route happened situated
καὶ τοὺς οἰκήτορας ἀγείρων, οὗ μὲν βόες ἄφθονοι οὐκ
and the inhabitants gathering where indeed oxen plentiful not

ἦσαν, ὁ δὲ τούτων δεῖσθαι τὸ στρατόπεδον ἐδημηγόρει.
were he and of-these to-need the camp harangued
καὶ τοίνυν εἴκοσι τάλαντα προφέρων, "τοσούτων ὑμᾶς"
and therefore twenty talents producing for-so-much you
ἔφασκεν "ἀνάγκη χρημάτων ἀποδόσθαι καὶ μεῖον οὐκ
he-said necessity for-money to-sell and less not
ἔνεστιν. ἀλλὰ τὸ τίμημα δέχεσθε πρότερον, καὶ ὅπως
it-is-possible but the price receive first and see-that
μοι τὴν ταχίστην ἅπαντας τοὺς βόας ἀποκομιεῖτε." τῶν
for-me the quickest all the oxen you-will-bring they
δὲ ἱκετευόντων ἀνεῖναι καὶ ἐπομνυμένων, ἢ μὴν μηδὲ
and begging to-let-off and swearing truly indeed not-even
ὅσον ἀροῦν τὰ λήϊα ἀποχρώντως κεκτῆσθαι, ἀνένευε
as-much-as to-plow the fields sufficiently to-possess refused
μάλα σεμνῶς ὁ κατάρατος, καὶ δεινὰ ἐποιεῖτο εἰ μηδὲ
very haughtily the accursed and terrible made-it if not-even
πρίασθαι τῷ στρατηγῷ ἐξείη τὰ ἐπιτήδεια. καὶ ἐς
to-buy for-the general it-were-allowed the provisions and to
τοσοῦτον ἐνέκειτο χαλεπαίνων, ἕως ἐκεῖνοι τὰ τιμιώτατα
so-much be-pressed being-angry until they the most-precious
τῶν κτημάτων ἀπεμπολήσαντες, καὶ χρυσίον, ὅσον οἷόν
of-the possessions having-sold and gold as-much-as able
τε ἦν αὐτοῖς, συνερανισάμενοι, παρέσχον τῷ κακοδαίμονι
— it-was for-them having-collected gave to-the wretch
λύτρα τοῦ ἐπιτάγματος. πάλιν δὲ ἐνθένδε ἰὼν καὶ ἑτέρωθι
ransom of-the order again and thence going and elsewhere
παραγενόμενος, ἔνθα καμήλων τυχὸν ἢ ὀρέων οὐδὲ ὄνομα
having-come where of-camels perhaps or of-mules not-even name
ἠκούετο, ὁ δὲ τούτων ἕνεκα ἥκειν ἐβόα, καὶ τοῖς
was-heard he and of-these for-the-sake to-have-come shouted and the
ὁμοίοις χρώμενος πάλιν ἐπεδείκνυε χρυσίον, καὶ πάλιν
like using again showed gold and again

λαβὼν ἀπεχώρει. οὕτω δὴ οὖν ἁπανταχοῦ περινοστῶν
having-taken went-off so indeed then everywhere going-round
καὶ ἀναζητῶν τὰ μὴ παρόντα, καὶ μηδὲν μήτε
and seeking the(-things) not present and nothing neither
ἀπεμπολήσας πώποτε, μήτε πριάμενος, μήτε ἄλλως πως
having-sold ever nor having-bought nor otherwise somehow
ξυμβαλών, ἠργυρολόγει καὶ εἰσέπραττε τοὺς μηδὲν ὁτιοῦν
having-dealt he-extorted and exacted-from the(-ones) nothing whatever
ἐπωφληκότας, τάχιστά τε ἤδη τὸ ἀρχαῖον ἐδιπλασιάζετο
having-owed most-quickly and already the principal was-doubled
τοῖς προσγινομένοις. ἐπειδὴ δὲ ἐς Κόλχους ἀφίκετο,
by-the accruals when and to Colchians he-came
ταὐτά τε ἔπρασσε, καὶ πρός γε ναῦς φορτίδας
the-same(-things) both he-did and besides at-least ships cargo
οὐκ οἶδα ὅπως ἐπικτησάμενος, καὶ τοὺς καρποὺς τοὺς
not I-know how having-acquired and the crops the
ἐπιχωρίους βιαιότατα ξυναθροίζων, καὶ πολλὰ ἐλαχίστου
local most-violently gathering and much for-very-little
ὠνούμενος, ἐς τὴν ἀλλοδαπὴν ἐξεφόρει καὶ διεπίπρασκε.
buying to the foreign(-land) exported and sold
σπάνις μὲν οὖν τῶν ἀναγκαίων εἰκότως ἐπεγίγνετο τοῖς
scarcity indeed then of-the necessities naturally came-on for-the
στρατεύμασιν, ὡς καὶ πόας εἶναι ὠνίους. ὁ δὲ μιαρὸς
armies so-that even grass to-be for-sale the and foul
ἐκεῖνος μεταβολεὺς καὶ παλιγκάπηλος μέγιστα κέρδη
that huckster and retailer greatest profits
προσεποιεῖτο. ἐκ τούτων δὴ οὖν τῶν πόρων τὰ
gained from these indeed then the resources the(-things)
ξυγκείμενα πρὸς Ἰουστῖνον ἐπετέλει, τάς τε τροφὰς
agreed toward Justinus he-fulfilled the both provisions
παρεχόμενος καὶ τῷ προτέρῳ χρυσίῳ προσεπιβάλλων.
supplying and to-the former gold adding

ὁ δέ, καίτοι γιγνώσκων τὰ ποιούμενα, πολλάκις τε
he and although knowing the(-things) being-done often and
τῶν λεηλατουμένων ὡς αὐτὸν ἰόντων καὶ σὺν ὀλοφυρμῷ
the(-ones) plundered to him going and with wailing
προκαλινδουμένων, λώφησίν τε γενέσθαι σφίσι τῶν
groveling respite and to-come to-them from-the
κακῶν ἀντιβολούντων, ὅμως τῶν ὀδυρμῶν καὶ δακρύων
evils entreating nevertheless the laments and tears
ὀλίγα φροντίσας, ἤσθιεν ἀδεῶς ἐκ τῶν ἀδικημάτων, καὶ
little having-cared ate fearlessly from the crimes and
ἥδετο μὲν ἀπριάτην εὐωχούμενος, καὶ πρός γε μεστὸν
delighted indeed unbought feasting and besides at-least full
κατὰ τὸ πλέον καὶ ἐμβριθέστερον ποιῶν τὸ φασκώλιον.
by the more and heavier making the purse
ἤμελλε δὲ ἄρα χρόνῳ ὕστερον ποινὰς μεγάλας ἡλίκας
was-going and then in-time later penalties great how-great
ἀποτινύναι. εἰ γὰρ καὶ μυρίους μετὰ ταῦτα διήνυσε
to-pay if for even countless after these(-things) he-accomplished
πόνους, καὶ μέγιστον ἤρατο κλέος ἀμφὶ τὸν Ἴστρον
toils and greatest won fame about the Ister
ποταμόν, τὰς τῶν βαρβάρων ἐπιδρομὰς ἀνακόπτων, ἀλλ᾽
river the of-the barbarians inroads checking but
οὐδὲν ἐνθένδε ἡ τοῦ κρείττονος ἐθωπεύετο δίκη, οὐδὲ
nothing thence the of-the higher was-flattered justice nor
τούτοις ἐκεῖνα ἐπεκαλύπτετο· ἔμενε δέ, οἶμαι, ἠρεμοῦντα
by-these those were-covered remained and I-think resting
καὶ ἐφυλάττετο μόνιμα καὶ ἀνάγραπτα μέχρι τοῦ καιροῦ
and were-kept lasting and recorded till the time
τοῦ καθήκοντος. οὐ γὰρ ἅμα τῷ πλημμελεῖν καὶ τὰς
the fitting not for with the to-transgress also the
τιμωρίας ἀναμετρεῖσθαι πεφύκαμεν, μετὰ χρόνον δὲ ὡς
punishments to-measure-out we-are-wont after time and as

τὰ πολλὰ καὶ ἴσως ἡνίκα τῶν εἰργασμένων ἐπιλελήσμεθα.
the most(-part) and perhaps when the deeds we-have-forgotten
καὶ ἀνιώμεθα μὲν τὸ παραυτίκα τοῖς καθ᾽ ἡμῶν
and we-grieve indeed the immediate at-the(-things) against us
γιγνομένοις, ὡς παραλόγως καὶ οὐκ ἐν δίκῃ συμβεβηκόσι,
happening as unreasonably and not in justice having-befallen
καὶ καταιτιώμεθα φθόνους ἀνθρωπείους τυχὸν καὶ
and we-blame envies human perhaps and
δυσμενείας, ὡς ἐκ τούτων οὐ προσήκοντα πεπονθότες·
hostilities as from these not fitting(-things) having-suffered
τὸ δὲ ξυνέχον ἡμᾶς καὶ διατάττον ἐπίσταται τὸ
the and holding-together us and ordering knows the
πρέπον ἑκάστῳ καὶ ὀφειλόμενον, καὶ τρόπῳ ὅτῳ καὶ
fitting for-each and owed and in-way whatever even
βούλεται μέτεισι καὶ ἀνιχνεύει τὰ πολλῷ ἔμπροσθεν
it-wishes pursues and tracks-down the(-things) much before
ἡμαρτημένα. ἀλλ᾽ ὁποῖα μὲν ἄττα ἐπὶ Ἰουστίνῳ ὕστερον
erred but what indeed things to Justinus later
ξυνηνέχθη καὶ ὅπως αὐτῷ ἡ τοῦ βίου καὶ τῆς τοσαύτης
befell and how to-him the of-the life and of-the so-great
εὐδαιμονίας κατάλυσις ἀδόκητος ἐπεγένετο, εἰρήσεταί
prosperity end unexpected came will-be-told
μοι ἐς τὸ ἀκριβὲς ἕκαστα, ἡνίκα ὁ λόγος ὁδῷ ἰὼν
by-me to the exact each-thing when the account on-its-way going
ἀκολούθως καὶ διὰ τῶν ἀεὶ ἐχομένων φερόμενος, ἐς
in-sequence and through the always following(-things) carried to
ἐκεῖνο τοῦ χρόνου περιενεχθείη. νῦν δὲ ἀνὰ τὰ πρότερά
that of-the time should-come-round now and to the former(-things)
μοι ἐπανιτέον, καὶ τοῖς ἑξῆς ἐπιχειρητέα.
by-me one-must-return and the next one-must-take-in-hand

Ὧδε γὰρ τῶν ἐν Λαζικῇ πραγμάτων ἐχόντων, καὶ Ἰουστίνου 23
thus for the in Lazica affairs being and Justinus
ἐπὶ πᾶσι στρατηγοῦ καταστάντος, οὔτε οἱ Πέρσαι ὡς
over all general having-been-set neither the Persians as
ἀναμαχούμενοι παρεσκευάζοντο, καὶ μέντοι οὐδὲ οἱ Ῥωμαῖοι
going-to-renew-the-fight prepared and however nor the Romans
ἐπήεσαν· ἀλλὰ προφυλακὰς μὲν ἀμφότεροι ἐποιοῦντο, καὶ
attacked but outposts indeed both made and
τὰ ἀλλήλων βουλεύματα ἐς ὅσον ἐνῆν ἀπεσκόπουν
the of-one-another plans to as-far-as was-possible watched
καὶ διεπυνθάνοντο· μάχης δὲ οὐδὲ ὁπότεροι ἤρχοντο, ἀλλ᾽
and inquired-into battle and neither side began but
ἔμενον ἡσυχῇ· αὐτομάτως, ὥσπερ ἀμέλει τοῦτο ξυνδοκοῦν,
remained quietly of-themselves as-if certainly this jointly-resolved
διωρισμένον. Χοσρόης δὲ ὁ Περσῶν βασιλεύς, ἐπειδὴ
determined Chosroes and the of-Persians king when
ἐπέπυστο τὰ πρὸς τῷ Φάσιδι ξυμβεβηκότα, καὶ ὅτι
he-had-learned the(-things) at the Phasis having-happened and that
φυγὰς ἐκ τῆς μάχης ὁ Ναχοραγὰν ἐγεγόνει, αὐτίκα ἐξ
fugitive from the battle — Nachoragan had-become at-once from
Ἰβηρίας αὐτὸν μετακαλεσάμενος, ὠμότατα μετῆλθε κατὰ
Iberia him having-summoned most-cruelly punished according-to
τὸν πάτριον νόμον. οὐ γὰρ ἀποχρῶσαν ᾤετο εἶναι ποινὴν
the ancestral custom not for sufficient he-thought to-be penalty
τῆς ἀνανδρίας τὸ οὕτω γοῦν αὐτὸν ἁπλῶς ἀποκτεῖναι,
for-the cowardice the so at-any-rate him simply to-kill
ἀλλ᾽ ἐκ τοῦ αὐχένος τὸ δέρμα διαχαράξας ἀπέδειρεν ἅπαν
but from the neck the skin having-cut flayed all
μέχρι τοῖν ποδοῖν, καὶ ἀφείλετο τῶν σαρκῶν πρὸς τὰ
as-far-as the two-feet and took-off from-the flesh to the
ἔνδον ἀνεστραμμένον, ὡς καὶ τοὺς τύπους τῶν μορίων
inside turned so-that even the shapes of-the parts

ἐς τοὔμπαλιν ἀποφαίνεσθαι, καὶ δίκην ἀσκοῦ ἠρέμα
in reverse to-appear and in-manner of-wineskin gently
ἐμπνευσθὲν ὑπὲρ σκόλοπός τινος ἀνηρτῆσθαι, οἰκτρόν τι
blown-up on stake some to-be-hung-up piteous some
θέαμα καὶ μιαρώτατον, καὶ πρώτῳ, οἶμαι, Σαπώρῃ ἐκείνῳ
sight and most-foul and by-first I-think Sapor that
τῷ πολλῷ ἔμπροσθεν Χοσρόου Περσῶν βεβασιλευκότι
the much before Chosroes over-Persians having-reigned
τετολμημένον. τὰ μὲν γὰρ ἐπὶ Μαρσύᾳ θρυλλούμενα
dared the(-things) indeed for about Marsyas much-told
τῷ Φρυγί, ὡς ἔρις αὐτῷ πρὸς Ἀπόλλωνα ξυνέστη ὑπὲρ
the Phrygian how strife for-him with Apollo arose about
τῶν αὐλῶν καὶ τῆς αὐλητικῆς ἐπιστήμης, ὅτι τε ἡσσήθη
the pipes and the pipe-playing skill that and was-beaten
ἀνὰ κράτος ὁ Μαρσύας, καὶ μάλα δικαίως, ἄτε δῆθεν,
by force — Marsyas and very justly as forsooth
εἰ μὴ λίαν εὔηθες εἰπεῖν, οἰκείῳ θεῷ ἀνταυλήσας, καὶ
if not very simple to-say own god having-piped-against and
ὡς τήνδε ἀνέπλησε τὴν τιμωρίαν τῆς προπετείας ὑπὸ
how this he-paid the punishment of-the rashness by
τοῦ νενικηκότος, ἀποδαρὲν αὐτῷ ἅπαν τὸ δέρμα καὶ ἐπὶ
the victor flayed for-him all the skin and on
δένδρου ᾠωρημένον· ταῦτα δὴ οὖν ἅπαντα ποιητῶν ἂν
tree hung these(-things) indeed then all of-poets —
εἴη τερατεία καὶ μῦθοι καὶ παίγνια, οὔτε τῶν ἀληθῶν,
would-be marvel-telling and myths and games neither the true
οὔτε τῶν εἰκότων ἐστοχασμένα. εἴγε αὐλητήν φασι τὸν
nor the likely having-aimed-at if-indeed piper they-say —
Ἀπόλλω γεγονέναι, καὶ ἁμιλλώμενον ἐπὶ τῇ τέχνῃ, καὶ ἐς
Apollo to-have-been and contending over the art and to
τοσοῦτο μετὰ τὴν νίκην χαλεπήναντα, ὡς ἀνοσίαν οὕτω
so-much after the victory angered as unholy so

καὶ μανιώδη ποινὴν ἐπαγαγεῖν τῷ ἡττημένῳ· πῶς δὲ
and mad penalty to-inflict on-the defeated how and
ἂν καὶ ἤρεσκεν αὐτὸν ἐκ τοῦ μετεώρου φαινόμενον
— even would-it-have-pleased him from the height appearing
τῆς ἀπανθρωπίας τὸ κατηγόρημα; ταῦτα γὰρ οἵ τε
of-the inhumanity the accusation these(-things) for the both
πρότερον ποιηταὶ ᾄδουσι, καὶ οἱ νέοι παραλαβόντες
earlier poets sing and the new having-taken-over
συνᾴδουσιν. ὧν δὴ καὶ Νόννος, ὁ ἐκ τῆς Πανὸς τῆς
sing-along of-whom indeed also Nonnus the from — of-Pan the
Αἰγυπτίας γεγενημένος, ἔν τινι τῶν οἰκείων ποιημάτων,
Egyptian born in one of-the own poems
ἅπερ αὐτῷ Διονυσιακὰ ἐπωνόμασται, οὐκ οἶδα ἐφ' ὅτῳ
which-very by-him Dionysiaca are-named not I-know on what
ὀλίγα ἄττα τοῦ Ἀπόλλωνος πέρι ἀφηγησάμενος, (οὐ γὰρ
few things — Apollo about having-narrated not for
δὴ τῶν προηγουμένων ἐπῶν ἐπιμέμνημαι,) εἶτα ἐπάγει·
indeed the preceding verses I-remember then he-adds

Ἐξότε Μαρσύαο θεημάχον αὐλὸν ἐλέγξας,
since of-Marsyas god-fighting pipe having-confuted
Δέρμα παρηώρησε φυτῷ κολπούμενον αὔραις.
skin he-hung on-tree swelling with-breezes

ὡς μὲν οὖν ἐξ ἐκείνου τὸ μίασμα τοῦτο οὔπω
that indeed then from that(-time) the pollution this not-yet
τῷ ἀνθρωπείῳ γένει διέγνωστο, σαφῆ τὰ τεκμήρια
to-the human race had-been-known clear the proofs
καὶ ἀποχρῶντα παρὰ τοῖς ὀρθῶς ἀναθεωρεῖν καὶ
and sufficient for the(-ones) rightly to-review and
τεκμαίρεσθαι τὰ παλαίτατα πεφυκόσιν, ἀλλὰ μὴ ποιητικῇ
to-judge the most-ancient(-things) disposed but not by-poetic

θεολογίᾳ παρακρουομένοις. ὁ δὲ Σαπώρης ἄδικός τε ὢν
theology misled — and Sapor unjust both being
ἐς τὰ μάλιστα καὶ μιαιφόνος, ὀξὺς μὲν εἰς ὀργὴν καὶ
in the most and bloodthirsty quick indeed to anger and
ὠμότητα, βραδὺς δὲ πρὸς φειδὼ καὶ συγγνώμην, εἰ μὲν
cruelty slow and to mercy and pardon whether indeed
καὶ ἐφ' ἑτέροις αὐτῷ πρότερον τόδε τὸ ἄγος ἐξείργασται,
also on others by-him before this the abomination was-done
οὐκ ἔχω σαφῶς ἀπισχυρίσασθαι· ὅτι δὲ Βαλεριανὸν τὸν
not I-can clearly to-affirm that and Valerian the
Ῥωμαίων ἐν τῷ τότε βασιλέα προσπολεμήσαντά οἱ καὶ
of-Romans in the then emperor having-made-war on-him and
εἶτα νενικημένον, ὁ δέ, ζωγρείᾳ ἑλών, τόνδε τὸν τρόπον
then defeated he and alive having-taken this the way
ἐτιμωρήσατο, πολλὴ μαρτυροῦσα ἡ ἱστορία. καὶ τάχα οἱ
punished much testifying the history and perhaps the
πρώτιστοι τῶν μετὰ τὴν Παρθυαίων κατάλυσιν τῆς
very-first of-the(-ones) after the of-Parthians overthrow the
βασιλείας τῆς Περσικῆς ἐπιλαβομένων, Ἀρταξάρης, φημί,
kingdom the Persian having-seized Artaxares I-mean
καὶ Σαπώρης, μιαρώ γε ἤστην ἄμφω καὶ ἀδικωτάτω,
and Sapor foul at-least were both and most-unjust
εἴγε ὁ μὲν τὸν οἰκεῖον δεσπότην ἀπεκτονώς,
if-indeed the(-one) indeed the own master having-killed
τυραννικήν τε καὶ βιαίαν τὴν ἀρχὴν κατεστήσατο· ἄτερος
tyrannical both and violent the rule established the-other
δὲ τιμωρίας ἦρξεν οὕτω δεινῆς καὶ μύσους ἀνοσιωτάτου.
and punishment began so terrible and abomination most-unholy
24 Ἐπεὶ δέ μοι ὁ λόγος, διὰ τῶν ἀεὶ παρεμπιπτόντων
since and for-me the account through the always incidents
φερόμενος, πάλιν ἐς Ἀρταξάρην ἀφίκετο, καιρὸς ἂν εἴη
carried again to Artaxares has-come time — would-be

ἐκπληροῦν νῦν τὸ πρότερον ἐπηγγελμένον, καὶ τῶν
to-fulfill now the(-thing) before promised and the
ἐφεξῆς βασιλέων ἐπιμνησθῆναι. οὗτος μὲν οὖν ἐξ ὧν
successive kings to-mention this-man indeed then from whom
τε ἔφυ καὶ ὅπως καὶ ὅντινα τρόπον τὴν κίδαριν
both he-was-born and how and what way the tiara
ἀνεδήσατο, ἤδη μοι ἐς τὸ ἀκριβὲς προαφήγηται. ἐκεῖνο
put-on already by-me to the exact has-been-related-before that
δὲ μόνον προσθείην ἂν ἐπ᾽ αὐτῷ, ὡς ἔτεσιν ὕστερον
and only I-would-add — about him that by-years later
ὀκτώ τε καὶ τριάκοντα καὶ πεντακοσίοις Ἀλεξάνδρου
eight both and thirty and five-hundred than-Alexander
τοῦ πάνυ τοῦ Μακεδόνος, τετάρτῳ δὲ ἔτει τῆς θατέρου
the famous the Macedonian in-fourth and year of-the of-the-other
Ἀλεξάνδρου τοῦ Μαμαίας ἀρχῆς, τῆς τῶν Περσῶν
Alexander the of-Mamaea reign the of-the Persians
βασιλείας ἐπιλαβομένῳ τῷ Ἀρταξάρῃ, καθ᾽ ὃν πρότερον
kingship having-seized — for-Artaxares in which before
ἀπήγγελται τρόπον, διήνυσται χρόνος ἐν αὐτῇ ἐνιαυτῶν
has-been-told way was-completed time in it of-years
πεντεκαίδεκα, δυοῖν μηνοῖν ἐνδεόντοιν. διαδέχεται δὲ τὸ
fifteen two months lacking succeeds and the
κράτος Σαπώρης ἐκεῖνος ὁ ἐναγέστατος, καὶ διεβίω πρὸς
power Sapor that the most-accursed and lived besides
τῷ ἑνὶ τριάκοντα τοὺς πάντας ἐνιαυτούς, πλεῖστα ὅσα
the one thirty the all years most as
τοὺς Ῥωμαίους λυμαινόμενος. ἅτε γὰρ τὸν βασιλέα σφῶν
the Romans harming as for the emperor their
ἀνελών, καὶ οὐδὲν ὁτιοῦν κώλυμα ἔσεσθαι διανοούμενος,
having-destroyed and nothing whatever hindrance to-be thinking
ὁ δὲ ἀνὰ τὰ πρόσω ἐχώρει, καὶ δὴ τήν τε μέσην
he and through the forward went and indeed the both middle

τῶν ποταμῶν ἐδῄωσε χώραν, καὶ εἶτα τὴν ἐφεξῆς
of-the rivers ravaged land and then the next
ἐχομένην, Κίλικάς τε ἐληΐσατο καὶ Σύρους, καὶ μέχρι
adjoining Cilicians both plundered and Syrians and as-far-as
τῶν Καππαδοκῶν ἐλάσας, ἐξαίσιον πλῆθος φόνων
the Cappadocians having-driven extraordinary quantity of-slaughters
κατείργασται, ὡς καὶ τὰ σηραγγώδη καὶ κοῖλα χωρία
wrought so-that even the cavernous and hollow places
τῶν ἐν τοῖς ὄρεσι φραγμῶν τοῖς σώμασιν ἀναπληροῦν
of-the in the mountains defiles with-the bodies to-fill
τῶν πεπτωκότων ἀνθρώπων, καὶ πρὸς ἰσότητα φέρειν
of-the fallen men and to evenness to-bring
τῶν λόφων τὰ διεστῶτα καὶ ἐξανέχοντα, καὶ οὕτω
of-the hills the(-parts) standing-apart and projecting and so
καθιππεύειν ἐν αὐτοῖς, καὶ διαβαίνειν ὥσπερ ἐφ' ὁμαλοῦ
to-ride-over in them and to-cross as-if on level
τὰς ἀκρωρείας. τοῦτον μὲν οὖν οἴκαδε αὖθις ἀφιγμένον,
the ridges this-man indeed then homeward again having-come
καὶ οὐ μετρίως χρησάμενον οἷς ἀσεβήσας ἐτύγχανεν,
and not moderately having-used what having-sinned he-happened
ἀλλὰ πρὸς ἀλαζονείαν ἀρθέντα πολλήν, ἀπέπαυσεν οὐκ
but to arrogance lifted much stopped not
ἐς μακρὰν τοῦ φρυάγματος Ὀδέναθος ὁ Παλμυρηνός,
to long from-the snorting Odaenathus the Palmyrene
ἀνὴρ ἀφανὴς μὲν τὰ πρῶτα καὶ ἄγνωστος, ταῖς δὲ
man obscure indeed the first and unknown by-the and
Σαπώρου συμφοραῖς καὶ οἷς ἔδρασεν ἐπ' αὐτῷ, μεγίστην
of-Sapor misfortunes and what he-did against him greatest
ἀράμενος δόξαν, καὶ πολλοῖς τῶν πάλαι ξυγγραφέων
having-won glory and by-many of-the of-old historians
ἀξιαφήγητος γεγενημένος. τεθνηκότος δὲ τοῦ Σαπώρου,
worth-telling having-been having-died and — Sapor

Ὡρμισδάτης ὁ τούτου παῖς τὴν βασιλείαν παραλαμβάνει,
Hormisdas the his son the kingship takes-over
καὶ διεβίω ἐν αὐτῇ χρόνον ἐς ὅ, τι ἐλάχιστον· ἐνιαυτὸν
and lived in it time to what ever least year
γὰρ ἕνα καὶ δέκα ἡμέρας τῆς τύχης ἀπώνατο, μηδὲν
for one and ten days the fortune he-enjoyed nothing
ὁτιοῦν δράσας ὁποῖον καὶ ἐς λόγου φέρεσθαι μνήμην,
whatever having-done such-as even to of-account to-be-carried memory
καθάπου καὶ ὁ μετ᾽ ἐκεῖνον Οὐαραράνης, τρισὶν ἔτεσι
just-as also the after him Vararanes three years
βασιλεύσας. ὁ δὲ υἱὸς ὁ τούτου ὁμώνυμος μὲν ἦν
having-reigned the and son the his same-named indeed was
τῷ γεγεννηκότι, ἑπτακαίδεκα δὲ κατὰ τὴν βασιλείαν
with-the father seventeen and in the kingship
μεμένηκεν ἔτη. ὁ δὲ τρίτος Οὐαραράνης ἐς μῆνας μὲν
has-remained years the and third Vararanes for months indeed
τέσσαρας μόνους ἀπεγεύσατο τῆς βασιλείας, Σεγὰν δὲ
four only tasted the kingship Segan and
σαὰ ἐπεκλήθη, οὐκ ἀπεικός, οἶμαι, οὐδὲ αὐτομάτως,
saa was-surnamed not unreasonably I-think nor at-random
